UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Stoicorvm vetervm fragmenta

Chrysippi fragmenta logica et physica

**Arnim, Hans von**

**Lipsiae, 1903**

Caput II. Dialectica

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2762

Visual Library

## Caput II.

## Dialectica.

**122** Diocles Magnes apud Diog. Laërt. VII 62. *διαλεκτικὴ δέ ἐστιν, ὥς φησι Ποσειδώνιος, ἐπιστήμη ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων· τυγχάνει δὲ αὕτη, ὡς ὁ Χρύσιππός φησι, περὶ σημαίνοντα καὶ σημαινόμενα.*

**123** Sextus adv. math. XI 187. *καὶ αὐτοὶ δὲ* (scil. Stoici) *τὴν διαλεκτικὴν ἔφασαν ἐπιστήμην ἀληθῶν τε καὶ ψευδῶν καὶ οὐδετέρων.*

**124** Alexander in Aristot. Top. p. 3 Ald. p. 1, 8 Wal. *ἡμᾶς δὲ καλῶς ἔχει προειδέναι ὅτι τὸ τῆς διαλεκτικῆς ὄνομα οὐκ ἐπὶ τὸ αὐτὸ σημαινόμενον πάντες οἱ φιλόσοφοι φέρουσιν, ἀλλ' οἱ μὲν ἀπὸ τῆς Στοᾶς ὁριζόμενοι τὴν διαλεκτικὴν ἐπιστήμην τοῦ εὖ λέγειν, τὸ δὲ εὖ λέγειν ἐν τῷ τὰ ἀληθῆ καὶ τὰ προσήκοντα λέγειν εἶναι τιθέμενοι, τοῦτο δὲ ἴδιον ἡγούμενοι τοῦ φιλοσόφου κατὰ τῆς τελειοτάτης φιλοσοφίας φέρουσιν αὐτό· καὶ διὰ τοῦτο μόνος ὁ σοφὸς κατ' αὐτοὺς διαλεκτικός.*

**125** Philodemus de rhetorica Vol. I 10 Sudhaus. *ἄ|ξιόν τε ἐπιστῆσαι | μήποτε οὐκ ἀπ(ί)θα(να) | λέγη(ιτ)ις ὥσπ(ερ τ)ὴν | διαλεκτικὴν τέ|χνην ὑπάρχειν, οὐ(μ)ὴ(ν) | ἀπεργάζεσθαί τι κα|θ' ἑαυτὴν, εἰ μὴ τοῖ(ς) | ἠθικοῖς καὶ φ(υ)σικο(ῖς) | συνδεθείη λόγ(οι)ς, ὃ(ν) | τρόπον καὶ τῶ(ν) Στω-|ικῶν ἔνιοι δι(έ)λαβον· | οὕτω καὶ τὴν ῥητο|ρικὴν* etc.

**126** Plutarchus de Stoic. repugn. cp. 24 p. 1045f. Ἐν τῷ τρίτῳ περὶ τῆϲ Διαλεκτικῆϲ ὑπειπὼν ὅτι „Πλάτων ἐϲπούδαϲε περὶ τὴν Διαλεκτικὴν καὶ Ἀριϲτοτέληϲ καὶ ⟨οἱ⟩ ἀπὸ τούτων ἄχρι Πολέμωνοϲ καὶ Στράτωνοϲ, μάλιϲτα δὲ Σωκράτηϲ" καὶ ἐπιφωνήϲαϲ ὅτι „καὶ ϲυνεξαμαρτάνειν ἄν τιϲ ἐθελήϲειε τούτοιϲ τοϲούτοιϲ καὶ τοιούτοιϲ οὖϲιν" ἐπιφέρει κατὰ λέξιν· „Εἰ μὲν γὰρ ἐκ παρέργου περὶ αὐτῶν εἰρήκεϲαν, τάχ' ἄν τιϲ διέϲυρε τὸν τόπον τοῦτον· οὕτω δ' αὐτῶν ἐπιμελῶϲ εἰρηκότων ὡϲ ἐν ταῖϲ μεγίϲταιϲ δυνάμεϲι καὶ ἀναγκαιοτάταιϲ αὐτῆϲ οὔϲηϲ, οὐ πιθανὸν ἐπὶ τοϲοῦτον διαμαρτάνειν αὐτοὺϲ ἐν τοῖϲ ὅλοιϲ ὄνταϲ οἵουϲ ὑπονοοῦμεν."

**127** Plutarchus de Stoic. repugn. cp. 10 p. 1035f. Τὸ πρὸϲ τὰ ἐναντία διαλέγεϲθαι καθόλου μὲν οὔ φηϲιν ἀποδοκιμάζειν, χρῆϲθαι δὲ

---

1 Catalogus logicorum Chrysippi librorum n. 13 habet *τόπον περὶ τὰ πράγματα* (= *σημαινόμενα*) et *τόπον περὶ τὰς λέξεις καὶ τὸν κατ' αὐτὰς λόγον* (= *σημαίνοντα*). Cf. Seneca ep. 89, 17. — verba *ὡς ὁ Χρύσιππός φησι* om. F.
23 *οἱ* add. Wil.

τούτῳ παραινεῖ μετ᾽ εὐλαβείας, ὥςπερ ἐν τοῖς δικαστηρίοις, μὴ μετὰ συνηγορίας, ἀλλὰ διαλύοντας αὐτῶν τὸ πιθανὸν „Τοῖς μὲν γὰρ ἐποχὴν ἄγουσι περὶ πάντων, ἐπιβάλλει, φησί, τοῦτο ποιεῖν, καὶ συνεργόν ἐστι πρὸς ὃ βούλονται· τοῖς δ᾽ ἐπιστήμην ἐνεργαζομένοις, καθ᾽ ἥν ὁμολογουμένως βιωσόμεθα, τὰ ἐναντία, στοιχειοῦν καὶ καταστοιχίζειν τοὺς εἰσαγομένους ἀπ᾽ ἀρχῆς μέχρι τέλους· ἐφ᾽ ὧν καιρός ἐστι μνησθῆναι καὶ τῶν ἐναντίων λόγων, διαλύοντας αὐτῶν τὸ πιθανόν, καθάπερ καὶ ἐν τοῖς δικαστηρίοις.“ Ταυτὶ γὰρ αὐταῖς λέξεσιν εἴρηκεν.

**128** Plutarchus de Stoic. repugn. cp. 10 p. 1037b. Ἐν μὲν ταῖς Φυσικαῖς Θέσεσι ταῦτα γέγραφεν· „Ἔσται δὲ καὶ καταλαμβάνοντάς τι, πρὸς τὰ ἐναντία ἐπιχειρεῖν, τὴν ἐνοῦσαν συνηγορίαν ποιουμένους· ποτὲ δ᾽ οὐδέτερον καταλαμβάνοντας εἰς ἑκάτερον τὰ ὄντα λέγειν.“

**129** Plutarchus de Stoic. repugn. cp. 10 p. 1037b. Ἐν δὲ τῷ περὶ τῆς τοῦ Λόγου Χρήσεως εἰπών, ὡς οὐ δεῖ τῇ τοῦ λόγου δυνάμει πρὸς τὰ μὴ ἐπιβάλλοντα χρῆσθαι, καθάπερ οὐδὲ ὅπλοις, ταῦτ᾽ ἐπείρηκε· „Πρὸς μὲν γὰρ τὴν τῶν ἀληθῶν εὕρεσιν δεῖ χρῆσθαι αὐτῇ, καὶ πρὸς τὴν τούτων συγγένειαν, εἰς τἀναντία δ᾽ οὔ, πολλῶν ποιούντων τοῦτο.“ πολλοὺς [δὲ] λέγων ἴσως τοὺς ἐπέχοντας.

**130** Diogenes Laërt. VII 46. *αὐτὴν δὲ τὴν διαλεκτικὴν ἀναγκαίαν εἶναι καὶ ἀρετὴν ἐν εἴδει περιέχουσαν ἀρετάς· τήν τε ἀπροπτωσίαν ἐπιστήμην τοῦ πότε δεῖ συγκατατίθεσθαι καὶ μή· τήν τε ἀνεικαιότητα ἰσχυρὸν λόγον πρὸς τὸ εἰκός, ὥστε μὴ ἐνδιδόναι αὐτῷ· τήν τε ἀνελεγξίαν ἰσχὺν ἐν λόγῳ, ὥστε μὴ ἀπάγεσθαι ὑπ᾽ αὐτοῦ εἰς τὸ ἀντικείμενον· τήν τε ἀματαιότητα ἕξιν ἀναφέρουσαν τὰς φαντασίας ἐπὶ τὸν ὀρθὸν λόγον. αὐτήν τε τὴν ἐπιστήμην φασὶν ἢ κατάληψιν ἀσφαλῆ ἢ ἕξιν ἐν φαντασιῶν προσδέξει ἀμετάπτωτον ὑπὸ λόγου. οὐκ ἄνευ δὲ τῆς διαλεκτικῆς θεωρίας τὸν σοφὸν ἄπτωτον ἔσεσθαι ἐν λόγῳ· τό τε γὰρ ἀληθὲς καὶ τὸ ψεῦδος διαγινώσκεσθαι ὑπ᾽ αὐτῆς καὶ τὸ πιθανὸν τό τε ἀμφιβόλως λεγόμενον διευκρινεῖσθαι· χωρίς τε αὐτῆς οὐκ εἶναι ὁδῷ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι. διατείνειν δὲ τὴν ἐν ταῖς ἀποφάνσεσι προπέτειαν καὶ ἐπὶ τὰ γινόμενα, ὥστε εἰς ἀκοσμίαν καὶ εἰκαιότητα τρέπεσθαι τοὺς ἀγυμνάστους ἔχοντας τὰς φαντασίας. οὐκ ἄλλως τε ὀξὺν καὶ ἀγχίνουν καὶ τὸ ὅλον δεινὸν ἐν λόγοις φανήσεσθαι τὸν σοφόν· τοῦ γὰρ αὐτοῦ εἶναι ὀρθῶς διαλέγεσθαι καὶ διαλογίζεσθαι καὶ τοῦ αὐτοῦ πρός τε τὰ προκείμενα διαλεχθῆναι καὶ πρὸς τὸ ἐρωτώμενον ἀποκρίνασθαι, ἅπερ ἐμπείρου διαλεκτικῆς ἀνδρὸς εἶναι.*

Cf. VII 83. *καὶ τοιοῦτοι μὲν ἐν τοῖς λογικοῖς οἱ Στωϊκοί, ἵνα μάλιστα κρατύνωσι διαλεκτικὸν μόνον εἶναι τὸν σοφόν. πάντα γὰρ τὰ*

---

5 *ἐναντία* libri, *δόγματα* Re. *ἀναγκαῖα* Wy. vix necessarium. — Ad librum *περὶ λόγου χρήσεως* videtur hoc fragmentum pertinere. 20 *δὲ* del. Wil. 23 24 25 *τε* scripsi ter, *δὲ* libri. 27 *ἐκ φαντασιῶν πρὸς λέξιν* F. 32 *ἀποφάνσεσι* scripsi, *ἀποφάσεσι* libri. 36 *προσκείμενα* B *λεγόμενα* F. ‖ *διαδεχθῆναι* B. ‖ *ἀποκρίνεσθαι* B. 37 *ἐμπείρου καὶ* F. 38 *τὰ* pro *ἵνα* B. 39 *κρατύνων* B. ‖ *μόνον ἀεὶ* P *μόνον* ante *ἀεὶ* suppl. B[2] *εἶναι ἀεὶ* (om. *μόνον*) F. ‖ *τὰ* om. P.

*πράγματα διὰ τῆς ἐν λόγοις θεωρίας ὁρᾶσθαι, ὅσα τε τοῦ φυσικοῦ τόπου τυγχάνει καὶ αὖ πάλιν ὅσα τοῦ ἠθικοῦ (εἰς μὲν γὰρ τὸ λογικὸν τί δεῖ λέγειν;) περί τε ὀνομάτων ὀρθότητος ὅπως διέταξαν οἱ νόμοι ἐπὶ τοῖς ἔργοις οὐκ ἂν ἔχειν εἰπεῖν· δυοῖν δὲ οὔσαιν συνηθείαιν ταῖν ὑποπιπτούσαιν τῇ ἀρετῇ, ἡ μὲν τί ἕκαστον ἔστι τῶν ὄντων σκοπεῖ, ἡ δὲ τί καλεῖται.*

**131** Papyrus 1020 (Hercul. Vol. Coll. alt. X 112—177. Hermes XXV p. 473 sq.). [Col. IV n = Ox Nd] *ὅ(τ)ι τὴν (ἀ)προπτωσί(αν) | τιμῶμ(ε)ν καὶ τὴν (ἀνει)|καιότ(η)τα, πρὸς δὲ | τὰς ἐναντίας δι(α)βε|βλήμεθα ὀρθῶ(ς). ἐσ|τὶ δ᾽ ἡ μ(ὲ)ν ἀπροπτω|σία διάθε(σ)ις ἀσυνκα|τάθετος πρὸ καταλή|ψεως, συνκαταθετι|κὴν κατὰ νερ . . . . . αι | φαντασία̣ κατα(λ)η|πτῶι, ἰσχύουσα τ̣᾽ ἐν | φαντασίαις καὶ ἄνει|κτον παρεχο(μ)έν(η) | ταῖς μὴ καταλη|πτικαῖς. Δεῖ γὰρ | τὸν ἀπρόπτω.τον | ἀ(ν)έλ(κ)υστόν τε εἶ|ναι ὑπὸ φαντασίας | ἀκαταλήπτου καὶ | ἰ̣σχύειν ἐν ταῖς φαν|τασίαις, ὥστε μὴ ἕλ|κεσθαι ἀπὸ φαντα|σι(ῶ̣ν̣) ἀκαταλήπτων | καὶ κρατεῖν τῶν | συνκαταθέσεων ὥσ|τε μηελ . εσυ . η μὴ | ἀ(κο)λ̣ουθ(εῖν) φαν(τασίαις.*

[Frgm. I n = Ox La] *πρό(τερον) τού(ς τ)οιού|(τ)ους, (οὐ)δέν (ἔ)στι πρὸ(ς | τὸ) μὴ (ὑπαρκ)τοὺς εἶνα(ι | τοὺ)ς (ἀστείο)υς, ἀδυνά|του (μὲν οὐκ) οἶμ(αι τυγχάνον)|τος αὐ(το)ῦ, δυσκαταπο|νήτο(υ δ᾽ ἄκρ)ως καθάπερ | κα(ὶ δυσαπο)σ̣είστου· οὔ|τω (δ᾽ εἴρηται) ὅτι τῆς (ἀρε|τῆς ἱδρῶτα θεοὶ) | π(ροπά)ρο(ιθ)εν (ἔθ)ηκαν. | (Τῶι) δὲ μὴ (δ)οξάζειν | τὸ(ν σο)φὸ(ν πλείω) ἀκο|λο(υ̣θε)ῖ̣ν (φαμε)ν τοι|αῦτ̣(α· πρ)ῶ(το)ν μὲν τὸ | μὴ δοκε(ῖν) αὐ(τ)ῷ̣ μη|δέν· ἡ γὰρ δόκ̣η(σί)ς ἐσ|(τιν δό)ξ(α ἀ)κατάλ(ηπ)|τ(ος· καὶ) τὸ μηδ᾽ οἴεσ|θαι (αὐ)τὸν μηδέν· καὶ | (γὰρ ἡ) οἴη(σί)ς ἐστιν αὐτὴ | (δ)όξα ἀδια . . τος μᾶλ(λ)ον (δ)όκησις μι . . . . . | (λ)έ(γ)εται δὲ τ.*

[Frgm. II n = Ox Lb] *(μήτε) | (ἐ)ξ(ε)λέγχεσθ(αι σπου)|δ(αί)ων εἶν(αι . . μή)|τε μεταπε(ισθῆναι), | κατὰ ταὐτὰ δ᾽ οὐ̣(δὲ) | ἐ(ξ)αλλάττειν α(ὑ)τ(ό)ν, | οὐδεὶς οὔτε πα(ρ)ακούσε|ται οὔτε παρανο(ήσει·) δε(ῖ | γὰρ) μὴ παραδ(έχεσθαι αὐ|τὸ)ν ψευδῆ . . . . . . . . | . . τα . . ν̣ι̣α̣ν, ἔτι (δ᾽ ἀ)|κολούθως τούτο(ις οὔ)|τ᾽ αὐτὸς παρα(ρι)θμ̣(εῖ) | ο(ὔθ᾽) ὑπ᾽ ἄλλου[ς] παρ(α)ρ̣ι|θμεῖται· καὶ πρὸς το(ύ)|τοις οὔ̣τε παρορᾷ οὔτε | (παρ)α̣κούει οὔτ̣ε (κατ᾽ ἄλ)|λο τ̣ῶ̣ν α̣ἰσθ̣(η)τηρ(ίων . . | . . ε(ικ)ατ . . . σ . τα . . . . | (δεῖ γὰ)ρ τὸν παρορῶ̣(ν)|τα, (κα)τὰ τὴν ὄψιν (λαμ)|β(άν)οντα φα̣ν-*

1 *τόπου* Meib., *τύπου* libri. 4 fortasse: *εἰ μὲν γὰρ τὸν λογικόν τι δεῖ λέγειν περὶ [τε] ὀνομάτων ὀρθότητος, πῶς τὰ κατ᾽ ἀξίαν ὀνόματα ἐπὶ τοῖς ἔργοις οὐκ ἂν ἔχοι εἰπεῖν;* ‖ *οὖσαν συνήθειαν* B. ‖ *τε* pro *ταῖν* BP. 10 fortasse: *συγκαταθετικὴ δὲ κατὰ περίπτωσιν.* 11 *ἰσχυουσαι* pap. ‖ *ανει|κτον* pap., fort. *ἄνελκτον.* 15 *cι . c . ιкκαταληπτων* pap. 18 *αδυναδ|του ο ἀδυναι|του* n. 19 *ατ . . υ* o. ‖ *κα . . υδ . . . ως* n. 21 versum Hesiodi restituit Brinkmann. 22 (*φαμεν*)] *σον* n. 23 *δοcη . . c* o. 24 *τε* pap. ‖ *οιεισθαι* o. 25 *οιποις* o, *ωπ . . ς* n. 30 . . . *Δ . μεν* n; fort. *φαντασμόν.* 31 *τουτε* pap. 34 *διτα . τον* n.

τα(σίαν) | ψευδῆ, ταύτην πα(ρα)|δ(έχ)εσ(θαι) κ . . . ο . . . | ϑ . . ικα . . . ἀ)νε|ξαπάτητ(ον) οὐδενὸς | cν . . c . . . . ονκ . . .

Frgm. IIIn = Ox Lc] τά(ξ)ιν . . . . . . ιν . ε|cιν . . . . . . . . . . ιλει | γὰρ . . . . . . . . . . . . . | αὐτοῖς κατὰ τὰ πλc . . |. εις κα(ὶ) πολλὰς (τῶν) τεχνῶν οὐχ ἕξουσιν | καὶ εἰσαχθήσονται εἰς | ταύτας· παρορᾶν δ(ὲ) αὐ|τοὺς ἢ (ἀ)τέχνους εἶναι | οὐ (ῥ)ητέον λ . . τὰς εἰ|ρ(ημέ)νας, οἱ τὰς . . . . | τ . . . . . . . . . εκει . . . . | οὐ(δὲ)ν . . . ἀ)λλα . . . . | να . . τ . . . . . . ο . ο . . . | προσυσι . . . . . . . . . | desunt duo versus | . . . . νι . . . . . . . . . . | α . . ους . . . . . . . . . . | ν . . αυ . . . . . . . . (ἡ)|μὲν γὰρ μ(εταπτωτική ἐσ)|τιν δ(ό)ξα . . . . . . . . . | τικαι . . σ . . . . . . . . | ἀδύ(νατον) οὐδέ . . . . | . υ . . . . . . . ος . . . . . | totus versus deest | . . ψ . . . . .

[Ox Ld, deest in n] δε . . . . . ἀ)κολο(υθε)ῖ μη|δὲν ἀγνοεῖν τὸν σο|φὸν· ἀ(φ' ὧ)ν καὶ (τοιαῦ)τα | παραπλ(ήσ)ια ἔσται· με|τὰ δὲ τ(ῶν προ(ειρ)ημ(έ)|νων τὰ (μὲν) ὄντα φαῦ|λα οὐκ ἔ(στ)α(ι) περὶ τὸν φρ(ό)νιμον, τ(ὰ) δὲ ἀναμέσον, | διὰ τὸ μὴ γίνε(σ)θαι ταῦ|τα ἐν τοῖς λογικοῖς ἄ|νευ ἁμαρτημάτων. | ἡ μὲν γὰρ ὑπόν(ο)ια καὶ | ἡ ἄγ(ν)οι(α) κα(ὶ) ἡ ἀ(πισ)τία | καὶ τὰ παρα(πλήσ)ια φαῦ|(λ)ά ἐστι(ν, ἡ) δ' (ἀτεχ)νία (καὶ ἡ) παρό(ρα)σις καὶ πα|ρaρίθ(μη)σι(ς τῶν) ἀνα|μέσον . . . α . . . . τ . . αι | . . εια παραρειθμ(ῆ)σαι | . . εχ . . αι τ . . . . . . παι . . . | . . . . ε . . . ι . . . . . τα . . . . | . α . . . ωσθ . . αι τοῦ ψεύ|(δους) . . α . . . . . . . . . . | κα(ὶ παν)τὸς φ(αύ)λου· διὰ (τοῦ)|το καὶ λε . πα . . σι . τοῖς | τοιούτ(οι)ς . . . . . τατοις | . . . . . . . . ον . . . . . . οις . . . | . . . . . . . . αυ . . . . διαφορα . |

[Col. In = Ox Ma] να· τούτοις δὲ ὡ(ς φ)α(σὶν) | ἀκολ(ο)υθεῖ καὶ τὸ τοὺς | (σ)οφο(ὺς) ἀνεξα(π)ατή|τους εἶναι καὶ ἀναμαρ|τήτους κατ' Ἀρι(στ)οτέλην (κ)αὶ πάντα πρά(τ)τειν | εὖ· διὸ καὶ περὶ (τὰς σ)υν|-(κα)ταθέσεις ὅπως γίνον|ται μὴ ἄλλως, ἀλλὰ με|τὰ καταλήψεως πλεί|ω γέγονεν ἐ(π)ι(στ)ρο|φή. πρῶτον μὲν γάρ ἐσ|τιν (ἡ)φιλοσοφία, εἴτε ἐ(πι)|τήδευ(σι)ς λόγου ὀρ(θό)|τητ(ος (εἴτ') ἐπιστήμ(η), | ἡ (αὐτὴ τῇ) περὶ λόγον | π(ραγμ)ατείαι· κ(αὶ γὰρ) | ἐν(τὸ)ς ὄντες τῶν (τοῦ) | λόγου μορίων καὶ τῆς | (συ)ν(τάξεως αὐ)τῶν χρ(η)|(σ)όμ(ε)θα ἐμπ(ε)ί(ρως αὐ)|τῷ· λό(γ)ον δὲ (λέ)γω τὸν | κα(τὰ φύσ)ιν π(ᾶσ)ι (τοῖς) | λογικοῖς ὑπάρχοντα· | ε(ἰ δ') ἡ διαλεκτ(ική) ἐσ(τιν) | ἐπιστ(ή)μ(η) τοῦ ὀ(ρ)θῶ(ς | δι)αλέγεσ(θ)αι καθ' ἡ(μᾶς?

[Col. IIn = Ox Mb] (ἀ)ποκ(ρ)ίσει (πι)θαν(ὸ)ν | τοῦτον δεινὸν εἶναι· | (κ)αὶ τὸν ἐν ἐ(ρ)ωτ(ή)σει | (κ)αὶ ἀποκ(ρ)ίσει δεινὸν | μ(ή)τε π(ερι)γίνεσθαι | δυνατὸν εἶναι μήτε | διαφεύ(γ)ειν, τὸν δ' οἷον | ὄντα

---

12 *δεναιαισειν* pap. 16 *αμαοτηλεχτων* pap. ‖ —*υποι . ιν* pap. ‖ *ηκα . ει .* 17 *. αιστι* pap. ‖ . . . *ονια* pap. 19 *και* pap. 25 *κατ' Ἀρι(στ)οτέλην* testatur Crönert Herm. 36, 550. 27 *οιτε* n. 28 *τηδου . . ς* pap. ‖ *ορτ . . ο, ο . τον* n. 29 *τα περιλογεια* n. ‖ *εντος εντες* n, *εν . . ς εντες* o. 32 ΛΙΜЄΙϹΤ . . . o, . . MЄNT n. 36 *δειον* o, *δε . ιον* n.

ἐξαπατᾶσθαι | καὶ περιγενέσθα(ι εἶν)αι | καὶ διαφεύγειν· ιc ἱκα|νὸν μὲν δεῖ αὐτὸν | εἶναι ἐν τῶι διαλέ|γεσθαι, τὸν δ' ἱκανὸν | ἐν τῷ δ(ι)αλέγεσθαι | ἐπακ(τέον εἶ)ναι κα(ὶ) | εὐερωτητικὸν καὶ (εὐ)|αποκριτικόν, οὔ(τ)ε | τούτω(ν) ἐσομένων | κατὰ τὸν ἐ(ξαπ)α(τώ)|μ(ε)νον οὔ(τ' ἂν αὐτοῦ) | ψευδέσι καὶ προ(πετέ|σι λόγοις ὀρθῶς ἀποκρι)|νομένου, εἴ τινα τρι|βὴν μὲν ἐν λόγωι | προσῆκεν αὐτὸν (ἔχειν), | ἡ δ' ἕως τῶν ἐλαχίσ|των θεωρητι(κὴ.)ν — —

[Col. IIIn = Ox Mc] κατὰ τὸν ἐξαπ(α) | τώμενον, οὔτε (ἄλ)λου | ἄν, ὅσον δε ἱκανὸν | ἐν τῶι διαλ(έ)γεσθα(ι ἀν|τ)ι λέγοντος, δυνατοῦ | ὄντος περιγε(νέσ)θαι | οὔτε τ(η)ρῆσαι α(ὑτ)ὸν | ἀπεριγένητον. καὶ | γὰρ ἀληθὲς λέγων | αὐτῶν ἀντερεῖ καὶ | ψευδὲς λέ(γ)ουσιν αὐ|τοῖς ἐπιπορεύσοντα(ι)· (τ)υγχάνουσι δὲ καὶ | ἀνεξέ(λ)εκτοι ὄντες | οἱ ἀ(γ)αθοὶ καὶ καταλ(η)|πτικοὶ ὄντες ἀ(ξι)ω|μάτων αὐτά(ρκ)ως | προσελέγχον(τές τε τ)ὸν ἀφαιρούμενον λό|γον καὶ ἰσχύον(τες) | (πρ)ὸς τού(ς ἐ)ν(αντί)ους· | δεῖ γὰρ αὐτοὺς καὶ ἀ|κινήτους εἶναι (ὑ)π' ἐ|λέγχο(υ) καὶ συνκ(α)τ(α) | συνκατατίθεσθαι | πεφραγμένως πρὸς | τοὺς ἐ(ναντί)ους — —

**132** Sextus adv. math. VII 38. τὴν δὲ ἀλήθειαν οἴονταί τινες καὶ μάλιστα οἱ ἀπὸ τῆς Στοᾶς διαφέρειν τἀληθοῦς κατὰ τρεῖς τρόπους, οὐσίᾳ τε καὶ συστάσει καὶ δυνάμει· οὐσίᾳ μὲν παρόσον ἡ μὲν ἀλήθεια σῶμά ἐστι, τὸ δὲ ἀληθὲς ἀσώματον ὑπῆρχεν. καὶ εἰκότως, φασίν, τουτὶ μὲν γὰρ ἀξίωμά ἐστι· τὸ δὲ ἀξίωμα λεκτόν· τὸ δὲ λεκτὸν ἀσώματον. ἀνάπαλιν δὲ ἡ ἀλήθεια σῶμά ἐστι παρόσον ἐπιστήμη πάντων ἀληθῶν ἀποφαντικὴ δοκεῖ τυγχάνειν, πᾶσα δὲ ἐπιστήμη πῶς ἔχον ἐστὶν ἡγεμονικόν, ὥσπερ καὶ ἡ πῶς ἔχουσα χεὶρ πυγμὴ νοεῖται· τὸ δὲ ἡγεμονικὸν σῶμα κατὰ τούτους ὑπῆρχεν· τοίνυν καὶ ἡ ἀλήθεια κατὰ γένος ἔσται σωματική. — συστάσει δὲ καθόσον τὸ μὲν ἀληθὲς ὡς μονοειδές τι καὶ ἁπλοῦν τὴν φύσιν νενόηται — — ἡ δὲ ἀλήθεια ὡς ἂν ἐπιστήμη καθεστηκυῖα τοὐναντίον συστηματική τε καὶ πλειόνων ἄθροισμα τυγχάνειν ὑπείληπται. — — 42. δυνάμει δὲ ταῦτα ἀλλήλων κεχώρισται, ἐπεὶ τὸ μὲν ἀληθὲς οὐ πάντως ἐπιστήμης εἴχετο (καὶ γὰρ ὁ φαῦλος καὶ ὁ νήπιος καὶ ὁ μεμηνὼς λέγει μὲν ποτέ τι ἀληθές, οὐκ ἔχει δὲ ἐπιστήμην ἀληθοῦς) ἡ δὲ ἀλήθεια κατ' ἐπιστήμην θεωρεῖται. ὅθεν καὶ ὁ ἔχων ταύτην σοφός ἐστιν (ἐπιστήμην γὰρ εἶχεν ἀληθῶν) καὶ οὔποτε ψεύδεται, κἂν ψεῦδος λέγῃ, διὰ τὸ μὴ ἀπὸ κακῆς, ἀλλ' ἀπὸ ἀστείας αὐτὸ διαθέσεως προφέρεσθαι. — 44. ὧδε καὶ ὁ σοφός, τουτέστιν ὁ τὴν τοῦ ἀληθοῦς ἐπιστήμην ἔχων, ἐρεῖ μέν ποτε ψεῦδος, ψεύσεται δὲ οὐδέποτε διὰ τὸ μὴ ἔχειν τὴν γνώμην ψεύδει συγκατατιθεμένην. — 45. τὸ ψεῦδος λέγειν τοῦ ψεύδεσθαι κατὰ πολὺ διενήνοχεν, ᾗ τὸ μὲν ἀπὸ ἀστείας γίνεται γνώμης, τὸ δὲ ψεύδεσθαι ἀπὸ πονηρᾶς.

**133** Alexander in Aristot. Metaphys. p. 258, 4 Bon. 301, 17 Hayd. τὸ

---

3 ἐπακτέον restituit Brinckmann. 4 ἐξαπατώμενον rest. idem. 5 ψευδοσι pap. 6 προσῆκεν pap.; cf. Crönert Herm. 36, 549. ‖ ηθεως pap. 7 θεωρητικῶν n. 8 ουτε τιου pap. 9 ὅσον scripsi, γον pap. ‖ ἱκανὸν n, ικανθαι o. 11 ψευδει pap. 12 επιπεσ . . σονται n επιτεσιησονται o. 15 δεπαρ o. 16 easdem syllabas scriba per errorem bis exaravit. 38 exspectamus: ⟨καὶ⟩ ἀπὸ.

*δὴ μὴ ἡγεῖσθαι μᾶλλον ἄλλο ἄλλου διαψεύδεσθαι, ὃ δοκεῖ τοῖς ἀπὸ τῆς Στοᾶς, ψεῦδός τε καὶ παρὰ τὰ φαινόμενα.*

**134** Cicero Orator 32, 115. *Ergo eum censeo, qui eloquentiae laude ducatur, non esse earum rerum (scil. logicae) omnino rudem, sed vel illa antiqua vel hac Chrysippi disciplina institutus, noverit primum vim, naturam, genera verborum, et simplicium et copulatorum: deinde quot modis quidque dicatur: qua ratione verum falsumne sit iudicetur: quid efficiatur e quoque, quid cuique consequens sit, quidque contrarium: quumque ambigue multa dicantur, quomodo quidque eorum dividi explanarique oporteat.*

**135** Galenus in Hippocr. de med. officina Vol. XVIII B p. 649 K. *τῶν αἰσθήσεων ἁπάσαις τὴν γνώμην ἐφεξῆς ἔταξεν, ὅπερ ἐστὶ τὴν διάνοιαν, ἥν τε καὶ νοῦν καὶ φρένα καὶ λόγον κοινῶς οἱ ἄνθρωποι καλοῦσιν. ἐπεὶ δὲ καὶ τῶν κατὰ φωνὴν ἐστί τις λόγος, ἀφορίζοντες οὖν τοῦτον τὸν προειρημένον λόγον οἱ φιλόσοφοι καλοῦσιν ἐνδιάθετον, ᾧ λόγῳ τά τε ἀκόλουθα καὶ τὰ μαχόμενα γιγνώσκομεν, οἷς ἐμπεριέχεται καὶ διαίρεσις καὶ σύνθεσις καὶ ἀνάλυσις καὶ ἀπέδειξις.*

Sextus adv. math. VIII 275. *φασὶν ὅτι ἄνθρωπος οὐχὶ τῷ προφορικῷ λόγῳ διαφέρει τῶν ἀλόγων ζῴων (καὶ γὰρ κόρακες καὶ ψιττακοὶ καὶ κίτται ἐνάρθρους προφέρονται φωνάς) ἀλλὰ τῷ ἐνδιαθέτῳ, οὐδὲ τῇ ἁπλῇ μόνον φαντασίᾳ — — ἀλλὰ τῇ μεταβατικῇ καὶ συνθετικῇ. διόπερ ἀκολουθίας ἔννοιαν ἔχων εὐθὺς καὶ σημείου νόησιν λαμβάνει διὰ τὴν ἀκολουθίαν.*

## A. *Περὶ Σημαινόντων, ἢ περὶ φωνῆς.*

Quae hic collacavi supplentur Diogenis Babylonii fragmentis *περὶ φωνῆς* quae in Vol. III edentur. Cf. Vol. I n. 74. 485.

**136** Diocles Magnes apud Diog. Laërt. VII 55. *τῆς δὲ διαλεκτικῆς θεωρίας συμφώνως δοκεῖ τοῖς πλείστοις ἀπὸ τοῦ περὶ τῆς φωνῆς ἐνάρχεσθαι τόπου.*

**137** Scholia Hesiod. Theog. v. 266. *Ἶρις δὲ ὁ προφορικὸς λόγος ἀπὸ τοῦ εἴρω τὸ λέγω.*

**138** Origenes contra Celsum II 72 Vol. I p. 194, 13 Kö. (p. 441 Delarue). *οὐδέπω δὲ λέγω ὅτι οὐ πάντως ἐστίν ἀὴρ πεπληγμένος ἢ πληγὴ ἀέρος ἢ ὅτι ποτὲ λέγεται ἐν τοῖς περὶ φωνῆς ἡ ἀναγραφομένη φωνὴ τοῦ θεοῦ.* Cf. id. VI 62 (p. 680 Del.) Vol. II p. 132, 16 Kö.

**139** Scholia Arati v. 1. *οἱ γὰρ Στωϊκοὶ ὑποτίθενται, μᾶλλον δὲ πάντες οἱ ὅρον φωνῆς γράψαντες πεπληγμένον ταύτην ἀέρα καλοῦσιν.*

**140** Diogenes Laërt. VII 55. *καὶ σῶμα δ' ἐστὶν ἡ φωνή, κατὰ τοὺς Στωϊκούς, ὥς φησιν Ἀρχέδημός τε ἐν τῇ περὶ φωνῆς καὶ Διο-*

---

1 *ἄλλον ἄλλου δὶς ψεύδεσθαι* L(aur.). 12 *ἔταξεν* scil. Hippocrates. 21 De synthesi et metabasi cf. n. 87. 39 *Ἀρχαίδημος* BPF.

γένης καὶ Ἀντίπατρος καὶ Χρύσιππος ἐν τῇ δευτέρᾳ τῶν φυσικῶν. πᾶν γὰρ τὸ ποιοῦν σῶμά ἐστιν· ποιεῖ δὲ ἡ φωνὴ προσιοῦσα τοῖς ἀκούουσιν ἀπὸ τῶν φωνούντων.

**141** Gellius Noct. Att. V 15. Sed vocem Stoici corpus esse contendunt eamque esse dicunt ictum aëra.

**142** Servius ad Verg. Aeneid. II 488. Ferit clamor: secundum philosophos physicos, qui dicunt, vocem corpus esse.

**143** Varro de lingua lat. VI 56. *Loqui ab loco dictum, quod qui primo dicitur iam fari, vocabula et reliqua verba dicit, ante quam suo quisque loco ea dicere potest. Hunc Chrysippus negat loqui, sed ut loqui: quare ut imago hominis non sit homo, sic in corvis, cornicibus, pueris primitus incipientibus fari, verba non esse verba, quod non loquantur.*

**144** Galenus in Hippocr. de humoribus lib. I. Vol. XVI p. 204 K. οὐ ταὐτὸν δέ ἐστι φωνὴ καὶ διάλεκτος καὶ αὐδή, ἀλλ' ἡ μὲν φωνὴ ἔργον ἐστὶ τῶν φωνητικῶν ὀργάνων, ἡ διάλεκτος δὲ τῶν διαλεκτικῶν, ὧν τὸ μὲν πρῶτόν ἐστιν ἡ γλῶττα, ἔπειτα δὲ ἡ ῥὶς καὶ τὰ χείλη καὶ οἱ ὀδόντες. φωνητικὰ δὲ ὄργανά ἐστι λάρυγξ καὶ οἱ κινοῦντες αὐτὸν μύες καὶ νεῦρα, ὅσα τὴν ἐξ ἐγκεφάλου παρακομίζει τούτοις δύναμιν. αὐδὴν δὲ οὔτε πᾶν τὸ τῆς ἀκοῆς ἴδιον αἰσθητὸν οἱ παλαιοὶ ἐκάλουν, οὔτε ἐκεῖνο μόνον, ὃ διὰ στόματος ἐκπέμπεται, ἐν ᾧ περιέχεται καὶ τὸ κλάειν καὶ τὸ συρίττειν καὶ οἰμώζειν καὶ βήττειν καὶ ὅσα τοιαῦτα, μόνην δὲ τὴν ἀνθρώπου φωνήν, καθ' ἣν διαλεγόμεθα πρὸς ἀλλήλους, αὐδὴν ὠνόμαζον.

Idem in Hippocr. Epidem. III Comment. III Vol. XVII 1 p. 757 K. iisdem verbis utitur inde ab αὐδὴν δὲ οὔτε — ὠνόμαζον. Pergit: οὕτω γοῦν καὶ ὁ ποιητής, ἡνίκα ἐποίησε τοῖς ἰδίοις ἵπποις διαλεγόμενον τὸν Ἀχιλλέα, τηνικαῦτά φησι τὸν ἕτερον αὐτῶν ἀμείψασθαι λόγοις χρησάμενον ἀνθρωπίνῃ διαλέκτῳ. *Αὐδήεντα*, γάρ φησιν, *ἔθηκε θεὰ λευκώλενος Ἥρη* (*T* 407). οὐχ ὡς ἄφωνον ὄντα πρότερον οὐδ' ὡς οὐκ ἔχοντα τὴν κοινὴν τῶν ἵππων φωνήν, ἀλλ' ὡς οὐκ ὀνομαζομένην αὐδὴν ἐκείνην. οὕτως οὖν καὶ „θεὸν αὐδήεσσαν" εἴρηκε τὴν ἀνθρωπίνῃ διαλέκτῳ χρωμένην, ὅτι καὶ αὐτὴν ἀνθρωποειδῆ φασιν εἶναι, μὴ πάντων τῶν θεῶν τοιούτων ὑπαρχόντων. ἐναργῶς γοῦν ἥλιος καὶ σελήνη καὶ τὰ λοιπὰ τῶν ἄστρων ἀποκεχώρηκε πάμπολυ τῆς τῶν ἀνθρώπων ἰδέας.

**145** Philo quaest. et solut. in Genesin IV 117 (p. 336 Aucher). (intellectum, sensus, corpus comparat cum vocalibus, semivocalibus, consonantibus).

**146** Origenes contra Celsum I, 24 (p. 341 Delarue) Vol. I p. 74, 10 Kö. ἐμπίπτει εἰς τὸ προκείμενον λόγος βαθὺς καὶ ἀπόρρητος, ὁ περὶ φύσεως ὀνομάτων, πότερον, ὡς οἴεται Ἀριστοτέλης, θέσει ἐστὶ τὰ ὀνόματα ἤ, ὡς νομίζουσιν οἱ ἀπὸ τῆς Στοᾶς, φύσει, μιμουμένων τῶν πρώτων φωνῶν τὰ πράγματα, καθ' ὧν τὰ ὀνόματα, καθὸ καὶ στοιχεῖά τινα τῆς ἐτυμολογίας εἰσάγουσιν.

**147** Diocles Magnes apud Diog. Laërt. VII 57. τοῦ δὲ λόγου

1 καὶ Χρύσ.—φυσικῶν om. F. 2 προσοῦσα BFP, corr. P[1]. 31 Calypso μ 449. 40 ἐστὶ Φ Del., εἰσὶ A.

ἐστὶ μέρη πέντε, ὥς φησι Διογένης — — καὶ Χρύσιππος· ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος, ἄρθρον.

**148** Galenus de Hipp. et Plat. plac. VIII 3 (232. 673 M.). τὸ αἰσθητὸν τουτὶ πῦρ ἀθρόον ἄθροισμα νομίζει σμικρῶν εἶναι σωμάτων, τὸ σχῆμα πάντων ἐχόντων πυραμίδος. ἐκείνων οὖν ἕκαστον στοιχεῖον εἶναί φησι τοῦ πυρός (sc. Plato), ὡς εἰ καὶ τοῦ τῶν πυρῶν σωροῦ στοιχεῖον ἔλεγεν εἶναί τις ἕκαστον τῶν πυρῶν. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὰ τῆς φωνῆς στοιχεῖα γεννᾶν πρῶτον μὲν τὰς συλλαβάς, εἶτα ἐξ αὐτῶν γεννᾶσθαι τό τε ὄνομα καὶ τὸ ῥῆμα καὶ τὴν πρόθεσιν ἄρθρον τε καὶ σύνδεσμον, ἃ πάλιν ὁ Χρύσιππος ὀνομάζει τοῦ λόγου στοιχεῖα.

**149** Galenus de differentia pulsuum III 4 Vol. VIII p. 662. ἀλλὰ καὶ τὸ βλίτυρι, φασί, καὶ τὸ σκινδαψὸς ἄσημα παντελῶς ἐστι. — — τί ληρεῖς, ἄνθρωπε, ἑκών; καὶ γὰρ τὸ βλίτυρι κροῦμά τι δηλοῖ καὶ τὸ σκινδαψὸς οὐκ οἰκέτου μόνον, ἀλλὰ καὶ ὀργάνου τινός ἐστιν ὄνομα.

Cf. Diog. Laërt. VII 57 (Diogenes Babylonius).

**150** Simplicius in Aristot. categ. f. 8 Z. ed. Bas. Οἰκειοτέρως δὲ ὁ Ἀριστοτέλης συνώνυμα κέκληκε τὰ σὺν τῷ ὀνόματι καὶ τὸν ὁρισμὸν ἔχοντα τὸν αὐτὸν ἤπερ οἱ Στωϊκοὶ τὰ πολλὰ ἅμα ἔχοντα ὀνόματα, ὡς Πάρις καὶ Ἀλέξανδρος ὁ αὐτός, καὶ ἁπλῶς τὰ πολυώνυμα λεγόμενα.

**151** Varro de lingua lat. IX 1 . . . *nesciunt docere quam discere quae ignorant, in quo fuit Crates, nobilis grammaticus, qui fretus Chrysippo, homine acutissimo, qui reliquit* περὶ ἀνωμαλίας *III libros, contra analogiam atque Aristarchum est nixus, sed ita, ut scripta indicant eius, ut neutrius videatur pervidisse voluntatem, quod et Chrysippus, de inaequabilitate cum scribit sermonis, propositum habet ostendere similes res dissimilibus verbis et dissimiles similibus esse vocabulis notatas, id quod est verum etc.*

**152** Gellius N. A. XI 12. *Chrysippus ait, omne verbum ambiguum natura esse, quoniam ex eodem duo vel plura accipi possunt, Diodorus autem, cui Crono cognomentum fuit „nullum", inquit, „verbum est ambiguum, nec quisquam ambiguum dicit aut sentit, nec aliud dici videri debet, quam quod se dicere sentit is, qui dicit etc."*

**153** Galenus de sophismatis ex elocutione 4. Vol. XIV p. 595 K. Εἴρηται δέ τινα καὶ τοῖς Στωϊκοῖς περὶ τούτων, ⟨ἃ κατὰ⟩ μέρος δίκαιον ἐπελθοῦσιν ἰδεῖν, εἴ τις ἔξω πίπτει τρόπος τῶν εἰρημένων. εἴη γὰρ ⟨ἂν⟩ ἐπαγωγ⟨ικ⟩ή τις αὕτη πίστις· καὶ δίκαιον ἄλλως, μηδεμίαν

11 Scripsit Chrysippus περὶ τῶν στοιχείων τοῦ λόγου καὶ τῶν λεγομένων ε' et alios eius generis libros. Vide in catalogo librorum n. 14 Σύνταξις δευτέρα. 26 Chrysippus scripsit περὶ τῆς κατὰ τὰς λέξεις ἀνωμαλίας πρὸς Δίωνα δ' n. 14 r. 29 Chrysippus quot scripserit περὶ ἀμφιβολιῶν libros vide in catalogo librorum n. 14 Σύνταξις τρίτη. 35 τούτων ⟨ἃ κατὰ⟩ μέρος scripsi, τῶν τοῦ μέρους ed. 36 τῶν scripsi, εἶναι ed. 37 ἂν addidi. ‖ ἐπαγωγική scripsi, ἐπαγωγή ed.

δόξαν ἀνδρῶν εὐδοκίμων πάρεργον τίθεσθαι. Τὸν μὲν οὖν τῆς ἀμφιβολίας ὅρον, εἰ καὶ πρὸς πολλὰ τῶν ἡμετέρων μάχεσθαι δοκεῖ, τό γε νῦν ἐατέον· ἑτέρας γὰρ καὶ ὑπὲρ τούτων σκοπεῖν πραγματείας ἐστί· τὰς δὲ διαφορὰς τῶν λεγομένων ἀμφιβολιῶν αὐτὰς ληπτέον. Εἰσί γε πρὸς τῶν χαριεστέρων λεγόμεναι τὸν ἀριθμὸν ὀκτώ· μία μὲν ἣν κοινὴν ὀνομάζουσι τοῦ τε εἰρημένου καὶ τοῦ διαιρετοῦ, οἵα ἐστὶν ἡ αὐλητρὶς πεσοῦσα· κοινὴ γὰρ αὕτη τοῦ τε αὐλητρὶς ὀνόματος καὶ τοῦ εἰρημένου. δευτέρα δὲ παρὰ τὴν ἐν τοῖς ἁπλοῖς ⟨ὁμωνυμίαν⟩, οἷον ʽἀνδρεῖοςʼ. ἢ γὰρ χιτὼν ἢ ἄνθρωπος. τρίτη δὲ παρὰ τὴν ἐν τοῖς συνθέτοις ὁμωνυμίαν, οἷον „ἄνθρωπός ἐστιν“. ἀμφίβολος γὰρ ὁ λόγος, εἴτε τὴν οὐσίαν εἴτε τὴν πτῶσιν εἶναι σημαίνει. τετάρτη δέ ἐστι παρὰ τὴν ἔλλειψιν, ὡς „ὅ ἐστί σου“· καὶ γὰρ ἐλλείπει τὸ διὰ μέσον, οἷον δεσπότου ἢ πατρός. πέμπτη δὲ παρὰ τὸν πλεονασμόν, ὥσπερ ἡ τοιαύτη „ἀπηγόρευσεν αὐτῷ μὴ πλεῖν“. τὸ γὰρ „μὴ“ προσκείμενον ἀμφίδοξον ποιεῖ τὸ πᾶν εἴτε τὸ πλεῖν ἀπηγόρευσεν εἴτε τὸ μὴ πλεῖν. ἕκτην φασὶν εἶναι τὴν μὴ διασαφοῦσαν τί μετὰ τίνος ἄσημον μόριον τέτακται, ὡς ἐν τῷ (Il. Ψ 382) „καί νύ κεν ἢ παρέλασσεν“. τὸ γὰρ στοιχεῖον ** ἂν μὴ ** γένοιτο διαζευκτικόν. ἑβδόμη δέ ἐστιν ἡ μὴ δηλοῦσα τί μετὰ τίνος τέτακται σημαντικὸν μόριον. ὡς ἐν τῷ „πεντήκοντ' ἀνδρῶν ἑκατὸν λίπε δῖος Ἀχιλλεύς“. ὀγδόη ἡ μὴ δηλοῦσα τί ἐπὶ τί ἀναφέρεται, ὡς ἐν τῷ „Δίων Θέων ἐστίν“. ἄδηλον γάρ ἐστιν εἴτε ἐπὶ τὴν ἀμφοτέρων ὕπαρξιν ἀναφέρεται, εἴτε ἐπὶ τοιοῦτον, οἷον „ὁ Δίων Θέων ἐστίν“ ἢ πάλιν. — Οἱ μὲν δὴ τρόποι πρὸς τῶν χαριεστέρων οὗτοι κατηρίθμηνται — τὸ δ' ἀμέθοδόν τε καὶ ἄτεχνον πρόδηλον (quod pluribus ostendit Galenus).

**154** Varro de lingua lat. VI 1. *In hoc dicam de vocabulis temporum et earum rerum quae in agendo fiunt aut dicuntur cum tempore aliquo ut „sedetur“, „ambulatur“, „loquantur“; atque si quae erunt ex diverso genera adiuncta, potius cognationi verborum quam auditori columnianti geremus morem. Huius rei auctor satis mihi Chrysippus et Antipater ...... qui omnes verba ex verbis ita declinari scribunt, ut verba litteras alia assumant, alia mittant, alia commutent* etc.

**155** Varro de lingua lat. X 59. *Nam nonnunquam alterum ex altero videtur, ut Chrysippus scribit, quem admodum pater ex filio et*

---

5 *λεγόμεναι* scripsi, *λεγομένων* ed. 6. 8 scribendum, ni fallor, *εἱρομένου* et mox *τοῦ διῃρημένου* pro altero *τοῦ εἰρημένου*. 7 *πεσοῦσα* scripsi, *παῖς οὖσα* ed. 9 *ἁπλοῖς ὁμωνυμίαν* scripsi, *ἁπλῶς* ed. 17 *μὴ διασαφοῦσαν* scripsi, *μηδὲν σαφοῦσαν* ed. 18 versum restitui, *καὶ νῦν καὶ μὴ παρήλασεν* ed. ‖ corruptelam significavi. Totam disputationem ex Chrysippi *περὶ ἀμφιβολιῶν* libris aliquo modo pendere probabile est. 36 videtur] scil. vocabulum derivatum.

*filius ex patre, neque minus in fornicibus propter sinistram dextra stat, quam propter dextram sinistra. Quapropter et ex rectis casibus obliqui et ex obliquis recti et ex singularibus multitudinis et ex multitudinis singulares nonnunquam recuperari possunt.*

**156** Scholia in Hom. Iliad. Δ 295. *ἀλάστωρ καὶ ὁ ἁμαρτωλός ἢ κατὰ Χρύσιππον ὁ φονεὺς διὰ τὸ ἄξιος εἶναι ἀλᾶσθαι ὅ ἐστι πλανᾶσθαι.*

**157** Lexicon apud Bekk. Anecd. Gr. I 374. *ἀλάστωρ· ὁ ἁμαρτωλός. ἢ ὁ φονικὸς δαίμων· καὶ κατὰ μὲν Χρύσιππον τὸν φιλόσοφον ἀπὸ τῆς ἐλάσεως, ὁ ἄξιος ἐλαύνεσθαι διὰ φόνον· κατὰ δὲ Ἀπολλόδωρον ἀπὸ τοῦ ἀλιτεῖν* etc.

**158** Etymologicum Magn. s. v. *ἀλάστωρ — — κατὰ μὲν Χρύσιππον τὸν φιλόσοφον ἐπὶ τοῦ ἁμαρτωλοῦ καὶ φονέως, ἀπὸ τῆς ἐλάσεως, ὁ ἄξιος τοῦ ἐλαύνεσθαι διὰ φόνον.*

**159** Etymologicum Orion. s. v. *ἀγκών· — — Χρύσιππος δὲ ἐγκών, ἀπὸ τοῦ ἐγκεῖσθαι τῷ ἑτέρῳ ὀστέῳ τὸ ἕτερον.*

**160** Etymologicum Magn. s. v. *διδάσκω* p. 272, 18. *Ἡρωδιανὸς δὲ λέγει ὅτι Χρύσιππος φησὶ παρὰ τὸ ἀσκεῖν τὸ σημαῖνον τὸ διδάσκειν· τὶ ἀσκῶ, διάσκω· καὶ ἐπενθέσει τοῦ δ διδάσκω.*

**161** Etymologicum Magn. s. v. *παλαιστή* p. 647, 34. *Λέγεται σπιθαμὴ παρὰ τὸ ἀποσπασμὸν ποιεῖν, διὰ τὸν ἀποσπασμὸν τὸν ἀπὸ τοῦ μεγάλου δακτύλου, τοῦ ἀντίχειρος, πρὸς τὸ τοῦ μικροῦ ἄκρον. ὡς δὲ Χρύσιππος διὰ τὸ σπᾶσθαι τὴν ὅλην χεῖρα.*

Cf. Etymol. Gud. et Or. s. vv.

**162** Etymologium Gud. s. v. *βάναυσος — — Χρύσιππος δὲ ἀπὸ τοῦ τεχνίτας* (leg. *τοῖς τεχνίταις*) *τὴν πρὸς τὸν βίον ἐγγίνεσθαι καὶ πορίζεσθαι ....* (excidit substantivum).

**163** Varro de lingua lat. VI 11. *Aevum ab aetate omnium annorum; hinc aeviternum, quod factum est aeternum: quod Graeci αἰῶνα, id ait Chrysippus esse ἀεὶ ὄν.*

**164** Ammonius in Aristot. de interpr. p. 42, 30 Busse. περὶ τῆς κατ' εὐθεῖαν γινομένης τῶν ὀνομάτων προφορᾶς εἴωθε παρὰ τοῖς παλαιοῖς ζητεῖσθαι, πότερον πτῶσιν αὐτὴν προσήκει καλεῖν ἢ οὐδαμῶς, ἀλλὰ ταύτην μὲν ὄνομα, ὡς κατ' αὐτὴν ἑκάστου τῶν πραγμάτων ὀνομαζομένου, τὰς δὲ ἄλλας πτώσεις ὀνόματος ἀπὸ τοῦ μετασχηματισμοῦ τῆς εὐθείας γινομένας. τῆς μὲν οὖν δευτέρας προΐσταται δόξης ὁ Ἀριστοτέλης — — τῆς δὲ προτέρας οἱ ἀπὸ τῆς Στοᾶς καὶ ὡς τούτοις ἀκολουθοῦντες οἱ τὴν γραμματικὴν μετιόντες τέχνην. λεγόντων δὲ πρὸς αὐτοὺς τῶν Περιπατητικῶν — — „τὴν εὐθεῖαν κατὰ τίνα λόγον πτῶσιν ὀνομάζειν δίκαιον, ὡς ἀπὸ τίνος πεσοῦσαν;“ — — ἀποκρίνονται οἱ ἀπὸ τῆς Στοᾶς ὡς ἀπὸ τοῦ νοήματος τοῦ ἐν τῇ ψυχῇ καὶ αὕτη πέπτωκεν· ὃ γὰρ ἐν ἑαυτοῖς ἔχομεν τοῦ Σωκρά-

---

18 fortasse: τὸ σημαινόμενον?

τους νόημα δηλῶσαι βουλόμενοι τὸ „Σωκράτης“ ὄνομα προφερόμεθα· καθάπερ οὖν τὸ ἄνωθεν ἀφεθὲν γραφεῖον καὶ ὀρθὸν παγὲν πεπτωκέναι τε λέγεται καὶ τὴν πτῶσιν ὀρθὴν ἐσχηκέναι, τὸν αὐτὸν τρόπον καὶ τὴν εὐθεῖαν πεπτωκέναι μὲν ἀξιοῦμεν ἀπὸ τῆς ἐννοίας, ὀρθὴν δὲ εἶναι διὰ τὸ ἀρχέτυπον τῆς κατὰ τὴν ἐκφώνησιν προφορᾶς.

**165** Scholia in Dionys. Thrac. Bekker Anecd. Gr. II p. 891. Τὸν ἐνεστῶτα οἱ Στωϊκοὶ ἐνεστῶτα παρατατικὸν ὁρίζονται ὅτι παρατείνεται καὶ εἰς μέλλοντα· ὁ γὰρ λέγων „ποιῶ“ καὶ ὅτι ἐποίησέ τι ἐμφαίνει καὶ ὅτι ποιήσει.

## B. Περὶ Σημαινομένων, ἢ Λεκτῶν.

Cf. Vol. I n. 488.

**166** Sextus adv. math. VIII 11. ἦν δὲ καὶ ἄλλη τις παρὰ τούτοις (scil. apud dogmaticos) διάστασις, καθ' ἣν οἱ μὲν περὶ τῷ σημαινομένῳ τὸ ἀληθές τε καὶ ψεῦδος ὑπεστήσαντο, οἱ δὲ περὶ τῇ φωνῇ, οἱ δὲ περὶ τῇ κινήσει τῆς διανοίας. καὶ δὴ τῆς μὲν πρώτης δόξης προεστήκασιν οἱ ἀπὸ τῆς Στοᾶς, τρία φάμενοι συζυγεῖν ἀλλήλοις, τό τε σημαινόμενον καὶ τὸ σημαῖνον καὶ τὸ τυγχάνον, ὧν σημαῖνον μὲν εἶναι τὴν φωνήν, οἷον τὴν „Δίων“, σημαινόμενον δὲ αὐτὸ τὸ πρᾶγμα τὸ ὑπ' αὐτῆς δηλούμενον καὶ οὗ ἡμεῖς μὲν ἀντιλαμβανόμεθα τῇ ἡμετέρᾳ παρυφισταμένου διανοίᾳ, οἱ δὲ βάρβαροι οὐκ ἐπαΐουσι καίπερ τῆς φωνῆς ἀκούοντες, τυγχάνον δὲ τὸ ἐκτὸς ὑποκείμενον, ὥσπερ αὐτὸς ὁ Δίων. τούτων δὲ δύο μὲν εἶναι σώματα, καθάπερ τὴν φωνὴν καὶ τὸ τυγχάνον, ἓν δὲ ἀσώματον, ὥσπερ τὸ σημαινόμενον πρᾶγμα, καὶ λεκτόν, ὅπερ ἀληθές τε γίνεται ἢ ψεῦδος. καὶ τοῦτο οὐ κοινῶς πᾶν, ἀλλὰ τὸ μὲν ἐλλιπὲς τὸ δὲ αὐτοτελές. καὶ τοῦ αὐτοτελοῦς τὸ καλούμενον ἀξίωμα, ὅπερ καὶ ὑπογράφοντές φασιν „ἀξίωμά ἐστιν ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος“.

**167** Sextus adv. math. VIII 80. πᾶν τε λεκτὸν λέγεσθαι δεῖ, ὅθεν καὶ ταύτης ἔτυχε τῆς προσηγορίας. — — λέγειν γάρ ἐστι, καθὼς αὐτοί φασιν οἱ ἀπὸ τῆς Στοᾶς, τὸ τὴν τοῦ νοουμένου πράγματος σημαντικὴν προφέρεσθαι φωνήν etc.

**168** Ammonius in Aristot. de interpret. p. 17, 24. ὁ Ἀριστοτέλης διδάσκει διὰ τούτων, τίνα ἐστὶ τὰ προηγουμένως καὶ προσεχῶς ὑπ' αὐτῶν σημαινόμενα (scil. ὑπὸ τῶν φωνῶν), καὶ ὅτι τὰ νοήματα, διὰ δὲ τούτων μέσων τὰ πράγματα, καὶ οὐδὲν ἕτερον δεῖ παρὰ ταῦτα ἐπινοεῖν μέσον τοῦ τε νοήματος καὶ τοῦ πράγματος, ὅπερ οἱ ἀπὸ τῆς Στοᾶς ὑποτιθέμενοι λεκτὸν ἠξίουν ὀνομάζειν.

**169** Scholia in Hom. Iliad. B. 349. ψεῦδος: ἀντὶ τοῦ ψευδής. ταῦτα δὲ παρὰ τοῖς Στωϊκοῖς λεκτὰ καλεῖται τὰ πρὸς τὴν σημασίαν δι' ἄλλων φερόμενα.

**170** Sextus adv. math. XI 224. τὸ μὲν οὖν σῶμα οὐ διδάσκεται, καὶ μάλιστα κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς· λεκτὰ γάρ ἐστι τὰ διδασκόμενα, σῶμα δ' οὐκ ἔστι τὰ λεκτά.

---

14 τῷ σημαινομένῳ Bk., τὰ σημαινόμενα libri. 25 fortasse: τὸ μὲν ἐλλιπὲς ⟨οὔ⟩, τὸ δὲ etc. 34 πράγματα dicit Ammonius, quae Stoici τυγχάνοντα, scil. τὰ ἐκτὸς ὑποκείμενα. 39 definitio corrupta legitur. 42 Cf. idem I 20.

**171** Plutarchus de Stoic. repugn. cp. 11 p. 1037 d. *Αὐτοί γε μὴν λέγουσι, τοὺς ἀπαγορεύοντας ἄλλο μὲν λέγειν, ἄλλο δ' ἀπαγορεύειν, ἄλλο δὲ προστάσσειν· ὁ γὰρ λέγων, Μὴ κλέψῃς, λέγει μὲν αὐτὸ τοῦτο, Μὴ κλέψῃς, ἀπαγορεύει δὲ ⟨κλέπτειν, προστάσσει δὲ⟩ μὴ κλέπτειν.*

## § 1. *Περὶ ἐναντίων καὶ ἀντικειμένων καὶ στερητικῶν.*

Scripsit Chrysippus *περὶ ἀποφατικῶν πρὸς Ἀρισταγόραν γ'* et *περὶ τῶν κατὰ στέρησιν λεγομένων πρὸς Θέαρον α'*. Locum *περὶ ἐναντίων* hic inserui, quia ad *λεκτά* secundum Stoicos pertinet omnis oppositio. Cf. n. 173: *ὅλως δὲ ἐν τοῖς πράγμασι τὰ ἐναντία θεωρεῖται.* Praemittenda duxi, quia ad *ἐλλιπῆ* et *αὐτοτελῆ* pertinent.

**172** Simplicius in Aristot. categ. f. 98 *Γ* ed. Bas. *ἀλλ' ἐπειδὴ σαφηνείας ἔτυχεν ἡ τοῦ Ἀριστοτέλους λέξις, ἴδωμεν καὶ ὅσα τῷ τόπῳ προσεξεργάζονται οἱ κλεινότεροι τῶν ἐξηγητῶν. Τῶν γὰρ Στωϊκῶν μέγα φρονούντων ἐπὶ τῇ τῶν λογικῶν ἐξεργασίᾳ, ἔν τε τοῖς ἄλλοις καὶ ἐπὶ τῶν ἐναντίων, σπουδάζουσι δεικνύναι, ὅτι πάντων τὰς ἀφορμὰς ὁ Ἀριστοτέλης παρέσχεν ἐν ἑνὶ βιβλίῳ, ὃ περὶ ἀντικειμένων ἐπέγραψεν, ἐν ᾧ καὶ ἀποριῶν ἐστι πλῆθος ἀμήχανον, ὧν ὀλίγην ἐκεῖνοι μοῖραν παρέθεντο· καὶ τὰ μὲν ἄλλα ἐν εἰσαγωγῇ παρεμβαλεῖν οὐκ εὔλογον. ὅσα δὲ συμφώνως οἱ Στωϊκοὶ τῷ Ἀριστοτέλει διετάξαντο, ταῦτα ῥητέον. Ὅρου τοίνυν παλαιοῦ περὶ τῶν ἐναντίων καταβεβλημένου, οὗ καὶ ἔμπροσθεν ἐμνημονεύσαμεν, ὅτι ὅσα ἐστὶν ἐν τῷ αὐτῷ γένει πλεῖστον ἀλλήλων διαφέρει, ἠθέτηκε τὸν ὅρον ὁ Ἀριστοτέλης ἐν τῷ περὶ τῶν ἀντικειμένων, πολυειδῶς βασανίσας αὐτόν. — — Χρησαμένου δὲ ὅμως τῷ ὅρῳ τούτῳ ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ μετὰ τοῦ ἐπισημήνασθαι ὅτι παλαιὸς ὁ ὅρος, οἱ ἀπὸ τῆς Στοᾶς παραλαβόντες αὐτὸν ἐχρήσαντο, τὸ μὲν σαθρὸν αὐτοῦ παραδεικνύοντες, πειρώμενοι δὲ ὅμως λύειν τὰ δοκοῦντα ἄτοπα. — — τούτοις οὖν οἱ ἀπὸ τῆς Στοᾶς ἐχρήσαντο πᾶσιν καὶ ⟨ἐν⟩ τοῖς ἄλλοις διορισμοῖς τοῖς περὶ τῶν ἐναντίων Ἀριστοτέλει κατὰ πόδας ἠκολούθησαν, ἐκείνου τὰς ἀφορμὰς αὐτοῖς δεδωκότος ἐν τῷ περὶ τῶν ἀντικειμένων συγγράμματι ἃς ἐξειργάσαντο ἐν τοῖς αὐτῶν βιβλίοις.*

**173** Simplicius in Aristot. categ. f. 98 E. ed. Bas. *καὶ γὰρ καὶ τὰς ἕξεις ἐναντίας ὑπέλαβον, ὡς ἐκεῖνος* (scil. Aristoteles), *οἷον φρόνησιν ἀφροσύνην, καὶ τὰ κατηγορήματα, ὥσπερ τὸ φρονεῖν καὶ ἀφραί-*

---

4 *κλέπτειν, προστάσσει δὲ* add. Mez. 24 aut *διαφέροντα* scribendum, aut *δὲ* post *πλεῖστον* inserendum. ‖ *ἠθέτηκε* scripsi, *ἤνθηνε* ed. Bas. 29 *ὅμως* scripsi, *ὅλως* ed. Bas. 36 *ἀφροσύνην* scripsi, *ἀφρόνησιν* ed. Bas.

νειν, καὶ τὰς μεσότητας, οἷον τὸ φρονίμως ἢ ἀφρόνως. τοὺς μέντοι ποιοὺς καὶ πῶς ἔχοντας οὐκέτι ὑπέλαβον ἐναντίους, ἀλλ' ἐναντίως ἔχειν, καὶ ⟨οὐ⟩ τοῦτον τούτῳ ἀλλ' ἀμέσως τὸν φρόνιμον τῷ ἄφρονι λέγουσιν. ἐὰν δέ ποτε καὶ λέγωμεν τοῦτον τούτῳ ἐναντίον εἶναι, ἐπὶ τὰ ἄμεσα ⟨βλέποντες⟩ ποιούμεθα τὴν σημασίαν, ὥς φασι. κυριώτατα μὲν οὖν ἐπὶ τῶν ἕξεων καὶ τῶν σχέσεων καὶ τῶν ἐνεργειῶν καὶ τῶν τούτοις παραπλησίων ἡ ἐναντίωσις θεωρεῖται. δεύτερον δὲ ὡς ἐναντία λέγεται τὰ κατηγορήματα καὶ τὰ κατηγορούμενά πως ἐκείνοις. προσάγει δὲ ἀμῶς γέ πως πρὸς τὰ ἐναντία καὶ τὸ φρονίμως καὶ ἀφρόνως. ὅλως δὲ ἐν τοῖς πράγμασι τὰ ἐναντία θεωρεῖται, καὶ ἡ φρόνησις τῇ ἀφροσύνῃ ἀμέσως οὕτως ἐναντία λέγεται, οὐχ ἥδε τῇδε· τοιαύτης δὲ οὔσης τῆς Στωϊκῆς διδασκαλίας, ἴδωμεν πῶς αὐτὴν ἀπὸ τῆς Ἀριστοτέλους παραδόσεως παρεσπάσαντο.

**174** Simplicius in Aristot. categ. f. 98 Z. ed. Bas. ὄντος δὲ δυνατοῦ τὸ αὐτὸ καὶ κατ' ἀσύνθετον φωνὴν εἰπεῖν, οἷον φρόνησιν ἀφροσύνην, καὶ δι' ὅρου, οἷον ἐπιστήμην ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων καὶ τὴν ἀφροσύνην ἄγνοιαν τῶν αὐτῶν, ζητοῦσι πότερόν ἐστι τὰ κατὰ τὰ ἁπλᾶ μόνον ἢ ⟨καὶ τὰ⟩ κατὰ τοὺς ὅρους ⟨ἐναντία⟩· καὶ ὅ γε Χρύσιππος ἐφίστησι, μήποτε τὰ προσηγορικὰ καὶ ἁπλᾶ μόνον ἐστὶν ἐναντία, τὰ δὲ οὐκ ἔστι. πολλὰ γὰρ ἐν τούτοις συμπεριλαμβάνομεν καὶ μετὰ ἄρθρων καὶ μετὰ συνδέσμων καὶ ἄλλων δὲ μορίων ἐξηγητικῶν ⟨προφέρομεν⟩ ὧν ἕκαστον εἰς τὸν τῶν ἐναντίων λόγον ἀλλοτρίως ἂν παραλαμβάνοιτο· διὸ τὴν μὲν φρόνησιν τῇ ἀφροσύνῃ φησὶν εἶναι ἐναντίον, τὸν δὲ ὅρον τῷ ὅρῳ οὐκέτι ὁμοειδῶς ἐναντίον εἶναί φησιν „ἐπ' ἐκεῖνα δὲ ποιούμενοι τὴν ἀναφορὰν καὶ τοὺς ὅρους κατὰ συζυγίαν ἀντιτιθέασι."

**175** Simplicius in Aristot. categ. f. 102 Z. ed. Bas. *Καὶ οἱ ἀπὸ τῆς Στοᾶς* δὲ διϊσχυρίζονται, ὅτι οὐδὲν τῶν κατὰ ἀπόφασιν λεγομένων οὐδενί ἐστιν ἐναντίον· ἦν γὰρ ἂν τῇ ἀρετῇ ἐναντία ἡ οὐκ ἀρετή, καὶ τῇ κακίᾳ ἐναντία ἡ οὐ κακία, ὑπὸ μὲν τὴν οὐκ ἀρετὴν καὶ τῆς κακίας πιπτούσης καὶ ἄλλων πολλῶν (καὶ γὰρ λίθου καὶ ἵππου καὶ πάντων τῶν παρὰ τὴν ἀρετήν) ὑπὸ δὲ τὴν οὐ κακίαν καὶ τῆς ἀρετῆς καὶ τῶν ἄλλων πάντων. ἔσται οὖν ἑνὶ πάντα ἐναντία, καὶ τὰ αὐτὰ τῇ ἀρετῇ καὶ τῇ κακίᾳ ἐναντία, εἰ μὴ ἡ ἀρετὴ τῇ κακίᾳ ἐναντία, ἀλλ' ἡ οὐ κακία· συμβήσεται καὶ σπουδαίοις μέσα ἐναντία εἶναι καὶ φαύλοις, ἄτοπον δὲ τοῦτο, καὶ μάλιστα εἰ καὶ τὰ αὐτὰ καὶ

3 ἀλλ' ἀμέσως scripsi, ἀλλὰ μέσως ed. Bas. 11 πράγματα hic quoque λεκτά dicuntur. 19 καὶ τὰ addidi. ‖ ἐναντία addidi. 23 προφέρομεν addidi; hic locus probat cetera quoque, quae περὶ ἐναντίων Stoica Simplicius profert, Chrysippi esse.

μή. Καὶ τὸ δυοῖν ἐναντίων ὑφ' ὃ μὲν πάντα τὰ ὑποπίπτοντα ποιότητας εἶναι, ὡς ὑπὸ τὴν ἀρετὴν καὶ τὴν κακίαν, ὑφ' ὃ δὲ καὶ ποιότητας καὶ ποιά, ὡς ὑπὸ τὴν οὐκ ἀρετὴν καὶ τὴν οὐ κακίαν (ὑπὸ ταύτας γὰρ καὶ ποιότητες καὶ ποιὰ καὶ ἐνέργειαι καὶ πᾶν ὁτιοῦν ἐστι) καὶ τοῦτό ἐστιν ἀπεμφαῖνον. οὕτως μὲν οὖν καὶ παρὰ τοῖς Στωϊκοῖς διώρισται τά τε ἐναντία καὶ τὰ ἀποφατικῶς ἀντικείμενα.

**176** Simplicius in Aristot. categ. f. 102 Δ ed. Bas. οἱ γοῦν Στωϊκοὶ μόνα τὰ ἀποφατικὰ τοῖς καταφατικοῖς ἀντικεῖσθαι νομίζουσιν.

Bekkeri Anecd. gr. p. 484. μηδὲ τὸ πρὸς τῶν Στωϊκῶν λεγόμενον παραλείπωμεν, παρ' οἷς ἐστί τις διαφορὰ ἐν τοῖς κατὰ φύσιν διεζευγμένοις μαχομένου καὶ ἀντικειμένου· καὶ ἦν μαχόμενον τὸ μὴ δυνάμενον κατὰ τὸ αὐτὸ παραληφθῆναι, ὑπὲρ οὗ καὶ ἐν τοῖς προκειμένοις εἴρηται· „ἡμέρα ἐστὶν ἢ νὺξ ἐστίν" ἢ „φθέγγομαι ἢ σιγῶ" καὶ ἔτι τὰ τούτοις ὅμοια. ἀντικείμενον δὲ τὸ πλεονάζον ἀποφάσει etc.

**177** Simplicius in Aristot. categ. f. 100 B. ed. Bas. ἔστι δέ τις στέρησις καὶ ἄλλη παρὰ τὴν φυσικήν, λέγω δὲ παρ' ἣν ἐπὶ τῶν πεφυκότων ἐλέγομεν καὶ ὅτε ἐπεφύκεσαν, ἣν Χρύσιππος ἠθικὴν καλεῖ· ἀχίτων γὰρ καὶ ἀνυπόδητος καὶ ἀνάριστος σημαίνει μὲν καὶ ψιλὴν ἀναίρεσιν, σημαίνει δὲ καὶ παρέμφασίν τινα, ὅτε καὶ κατὰ στέρησιν γίνεται. οὔτε γὰρ ἀχίτωνα τὸν βοῦν ἐροῦμεν, οὔτε ἡμᾶς ὅταν λουώμεθα ἀνυποδέτους, καὶ ἀναρίστους οὔτε τοὺς ὄρνιθας οὔτε ἡμᾶς ἅμα τῷ ἡμέραν γενέσθαι, ἀλλὰ δεῖ συνεμφαίνεσθαι τὸ εἰθισμένον καὶ ὅτε εἴθισται τὴν στέρησιν. ὄντος γὰρ ἔθους ἀριστᾶν κατά τινα ὥραν τεταγμένην ὁ ὑπὸ τὸ ἔθος ὤν, ὅταν μὴ ἐν τῷ χρόνῳ τῷ τεταγμένῳ ἀριστήσῃ, οὐ φύσεως ἔμφασιν, ἀλλ' ἔθους κατὰ τὴν στέρησιν ἀναιρεῖ. εἰσὶν οὖν ἀέχειαι αἱ μὲν τῶν φύσει, αἱ δὲ τῶν κατ' ἔθος, καὶ ἀναιρέσεις ἐν οἷς ἕκαστα καὶ πέφυκε καὶ εἴθισται. πολλάκις δὲ οὐκ ἔθους ἀλλὰ καθήκοντος ἀπόπτωσιν ἐμφαίνει ἡ στέρησις, ὡς ἐπὶ τοῦ ἄκλητον δειπνεῖν, ὅταν παρεμφαίνωμεν, ὅτι οὐ καθηκόντως ἀπήντησεν οὔτε κατὰ τὸ ἐπιβάλλον τοῖς ἔθεσιν. ἔστι καὶ ἄλλως ἡ στέρησις τῶν ὁμωνύμως λεγομένων· καὶ γὰρ ὅταν τι γένος ὅλον μὴ ᾖ πεφυκός τι ἔχειν, ἐστερῆσθαι λέγομεν ἐκείνου, ὃ μὴ πέφυκεν ἔχειν· οὕτως τὰ φυτὰ ἐστερῆσθαι λέγομεν αἰσθήσεως τῷ μὴ πεφυκέναι ἔχειν αἴσθησιν. καὶ ὅταν δὲ τὰ ἐν τῷ γένει τὰ μὲν ᾖ πεφυκότα ἔχειν, τὰ δὲ μὴ πεφυκότα, ἐστερῆσθαι λέγεται τὰ μὴ πεφυκότα, ὥσπερ ἐν τῷ γένει τῶν ζῴων ὁ ἀσπάλαξ ὄψεως. καὶ μᾶλλόν γε τοῦτο λέγομεν ἢ ἐπὶ τοῦ πρὸς βίαν ἀφῃρῆσθαι. κυρίως δὲ στέρησις λέγεται ἐπὶ τῶν πεφυκότων μὲν ἔχειν, μὴ ἐχόντων δὲ τότε ὅτε πεφύκασι καὶ ὅτε εἰώθασι καὶ ἐνεστήσαντο ἔχειν, ὃ δὴ καὶ ἀντίθετον τῇ ἕξει θεω-

---

5 τοῦτό ἐστιν scripsi, ἔστιν τοῦτο ed. Bas. 6 ἀποφατικῶς scripsi, ἀντιφατικῶς Bas.

ρεῖται· καὶ ἡ ἐν τούτοις ἀντίθεσις κέκληται ἡ κατὰ ἕξιν καὶ στέρησιν. — — καὶ τοῦτο δὲ ἰστέον ὅτι ἐνίοτε μὲν οὐ στερητικὰ ὀνόματα στέρησιν δηλοῖ, ὡς ἡ πενία τὴν στέρησιν τῶν χρημάτων καὶ ὁ τυφλὸς στέρησιν ὄψεως. ἐνίοτε δὲ στερητικὰ ὀνόματα οὐ στέρησιν δηλοῖ· τὸ γὰρ ἀθάνατον, στερητικὸν ἔχον τὸ σχῆμα τῆς λέξεως, οὐ σημαίνει στέρησιν· οὐ γὰρ ἐπὶ πεφυκότος ἀποθνήσκειν, εἶτα μὴ ἀποθνήσκοντος, χρώμεθα τῷ ὀνόματι. πολλὴ δὲ ταραχή ἐστι κατὰ τὰς φωνὰς τὰς στερητικάς. διὰ γὰρ τοῦ ᾱ καὶ $\overline{\text{αν}}$ προσαγομένων αὐτῶν, ὥσπερ ἄοικος καὶ ἀνέστιος, συμβαίνει ποτὲ μὲν ταῖς ἀποφάσεσι, ποτὲ δὲ τοῖς ἐναντίοις συμφύρεσθαι αὐτὰς (sequuntur exempla). πολλῆς δ' οὔσης τῆς ἀνωμαλίας Χρύσιππος μὲν ἐν τοῖς περὶ τῶν στερητικῶν λεγομένοις ἐπεξῆλθεν αὐτήν, Ἀριστοτέλει δὲ οὐ τοῦτο προὔκειτο etc.

Cf. f. 102 B. ἀλλὰ τὸν μὲν πλήρη περὶ τῶν στερήσεων λόγον ἔστιν ἔκ τε τοῦ Ἀριστοτελικοῦ καὶ τοῦ Χρυσιππείου βιβλίου λαμβάνειν.

**178** Simplicius in Aristot. categ. f. 101 E. ed. Bas. ἕξεως δὲ καὶ στερήσεως οὐ δυνατὸν εἰς ἄλληλα μεταβολὴν γίνεσθαι. τυφλότης μὲν γὰρ ἐξ ὄψεως γίνεται, οὐκέτι μέντοι καὶ ἀνάπαλιν. ὅθεν καὶ ὁ Χρύσιππος ἐζήτησεν, εἰ τυφλοὺς ῥητέον τοὺς ὑποχυθέντας, δυναμένους δὲ ἐκ παρακεντήσεως ἀναβλέψαι, καὶ ἐφ' ὧν τὰ βλέφαρα κέκλεισται. τῆς γὰρ δυνάμεως οὔσης ἐοικέναι τῷ καταμεμυκότι τοὺς ὀφθαλμοὺς ἢ τῷ κωλυομένῳ ὁρᾶν διά τι παραπέτασμα, οὗ ἀφαιρεθέντος οὐδὲν κωλύεται ὁρᾶν. διὸ οὐδὲ ἀπὸ στερήσεως εἰς ἕξιν γίνεται ἡ τοιαύτη μεταβολή. λαμβάνει δὲ νῦν στέρησιν τὴν κατὰ πήρωσιν.

**179** Simplicius in Aristot. categ. f. 100 B. ed. Bas. (Jamblichum se exscribere significat ipse S.). καὶ γὰρ καὶ τὸν Χρύσιππον Ἀριστοτέλει ἑπόμενον στερητικὰ λέγειν ταῦτα, ὅσα ἀναιρεῖ παρεμφαίνοντα τὴν τοῦ ἔχειν φύσιν, οὐχ ἁπλῶς, ἀλλ' ὅταν ἐμφαίνῃ τὸ πεφυκὸς καὶ ὅτε πέφυκεν — καὶ ἀντίκειται τῇ ἀπὸ τοῦ ἔχειν λεγομένῃ ἕξει ἡ στέρησις, καὶ οὐ μόνον ποιοτήτων αἱ στερήσεις, ἀλλὰ καὶ ἐνεργειῶν, ὡς ἡ τυφλότης τῆς τοῦ ὁρᾶν ἐνεργείας καὶ ἡ χωλότης τῆς τοῦ βαδίζειν.

**180** Papyrus Letronnii περὶ ἀποφατικῶν (ed. Brunet Notices et extraits de manuscrits de la bibliothèque impériale. Tome XVIII Paris 1865, Th. Bergk Opusc. II p. 114).

I. (ἔστ)ιν ὅπερ οὕτω λέγοι | (ἄν τι)ς· „Οὐκ οἶδ' ὅπως χρὴ | (τὸν σ)αφῶς κατειδότα | (τῆς Ἡ)ρακλείας φροντί-|(δος κ)ατηγορεῖν.“ Ναὶ

cf vol. I p. IX

37 οὐκ del. Bergk, propter suam supplendi rationem, quae incerta est. fr. adesp. 77 Nauck.

| (οὐ ἀλ)ηθὲς ὂν ἔλεγεν ὁ | (ποιητ)ής· „Οὐκ οἶδ' ὅπως | (χρὴ τὸν) σαφῶς κατειδό|(τα τ)ῆς Ἡρακλείας | (φροντ)ίδος κατηγορεῖν." — | (Εἰ οὔτε) ψευδῶς οὔ | (τε ἀληθῶς) οὕτω λέγοι | (τις ἄν· „τοί με)ξένον οὐδὲ | (ἀδαήμο)να Μουσᾶν | (ἐπαίδευσ)αν κλυταὶ | (Θῆβαι" οὐκ ἀλ)ηθὲς ὂν ἐλέ|(χθη ὅπερ λεχ)θείη ἂν οὕτω | „(οὔτοι με) ξένον οὐ|(δὲ ἀδαήμ)ονα Μουσᾶν ἐ|(παίδευσ)αν κλυταὶ Θῆβαι." | (ναί· οὔ)τε ψευδῶς | (οὔτ' ἀληθῶς) οὕτω λέγοι | (τις ἄν· „τοί) με ξένον | (οὐδὲ ἀδαήμ)ονα Μου|(σᾶν ἐπαίδευ)σαν κλυταὶ (Θῆβαι." ναὶ ο)ὐ· ἀληθὲς ἐ|(λέχθη ὅπερ) λεχθείη ἂν Π. οὕτως· „οὔτοι με ξένον οὐδὲ | ἀδαήμονα Μουσᾶν ἐπαί|δευσαν κλυταὶ Θῆβαι."

3. *Εἰ ἀληθῶς τις τῶν ποιη|τῶν οὕτως ἀπεφαίνετο* |
„*Οὔ μοι Σαρδανάπαλλος ἀρέσκει τὴν διάνοιαν*"
*ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*Οὔ μοι — διάνοιαν*"
*ναὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*Οὔ μοι — διάνοιαν.*"
*ναὶ οὐ ἀληθῶς τις τῶν ποιητῶν οὕτως ἀπεφαίνετο·*
„*Οὔ μοι — διάνοιαν.*"

4. *Εἰ ἀπεφήνατό τις·* (trag. fr. adesp. 83 Nauck)
„*Οὐκ ἦν ἄρ' οὐθὲν πῆμ' ἐλευθέραν δάκνον*
*Ψυχὴν ὁμοίως ἀνδρὸς ὡς ἀτιμία.*"
*ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*Οὐκ ἦν — — ἀτιμία.*" cf Vol. I p. IX
*ναὶ οὐ ἀπεφήνατό τις·*
„*Οὐκ ἦν — — ἀτιμία.*"

5. (*Εἰ ἀληθῶς*) *οὕτως ἀπέφασκεν Εὐριπίδης·* (Iphig. Aul. 28)
„*Οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέως.*"
*ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*Οὐκ — ἀριστέως.*"
*ναὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ*
„*Οὐκ — ἀριστέως.*"
*ναὶ οὐ ἀπέφασκεν οὕτως Εὐριπίδης·*
„*Οὐκ — ἀριστέως.*"

6. *Εἰ Ἀνδρομάχη Εὐριπίδου πρὸς Ἑρμιόνην τοῦτον ἀπεφήνατο τὸν τρόπον·* (Androm. 205)
„*Οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις*"
*ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*Οὐκ ἐξ — πόσις*"

---

1 ον cod., ὃ male Letr. 6 Pind. fr. 198 Bergk. 26 *Εἰ ἀληθῶς* add. Letronne.

180 καὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·
„Οὐκ ἐξ — πόσις“
καὶ οὐ Ἀνδρομάχη Εὐριπίδου πρὸς Ἑρμιόνην ἀπεφήνατο τοῦτον τὸν τρόπον·
„Οὐκ ἐξ — πόσις“
7. *Εἰ ἀληθές ἐστιν, ὅπερ οὕτω λεχθείη ἄν·* (Eur. Stheneb. fr. 662 N.)
„Οὐκ ἔστιν ὅστις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ.“
ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·
„Οὐκ ἔστιν — εὐδαιμονεῖ.“
καὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·
„Οὐκ ἔστιν — εὐδαιμονεῖ.“
V. καὶ οὐ ἀληθές ἐστιν ὅπερ οὕτω λεχθείη ἄν·
„Οὐκ ἔστιν — εὐδαιμονεῖ.“
8. *Εἰ ἀληθὲς ὃν ἔλεγεν Εὐριπίδης·* (inc. fab. fr. 896 N.)
„Οὐκ ἐν γυναιξὶ τοὺς νεανίας χρεών,
ἀλλ᾽ ἐν σιδήρῳ κἂν ὅπλοις τιμὰς ἔχειν.“
ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·
„Οὐκ ἐν — τιμὰς ἔχειν.“
καὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·
„Οὐκ ἐν — τιμὰς ἔχειν.“
καὶ οὐ ἀληθὲς ὃν ἔλεγεν Εὐριπίδης·
„Οὐκ ἐν — τιμὰς ἔχειν.“
9. *Εἰ ποιητής τις οὕτως ἀπεφήνατο·* (lyr. fr. adesp. 5 Bgk.)
VI. „Οὐ μοι ἔτ᾽ εὐκελάδων ὕμνων μέλει οὐδ᾽ ἔτι μολπῆς.“
φάσις ἐστὶν ὅπερ οὕτω λεχθείη ἄν·
„μοι ἔτ᾽ — — μολπῆς.“
καὶ οὐ φάσις ἐστὶν ὅπερ οὕτω λεχθείη ἄν·
„μοι ἔτ᾽ — μολπῆς.“
καὶ οὐ ποιητής τις οὕτως ἀπεφήνατο·
„οὔ μοι ἔτ᾽ — μολπῆς.“
*Εἰ ποιητής τις οὕτως ἀπεφήνατο·*
„Οὔ μοι ἔτ᾽ — μολπῆς.“
ἀντίκειται τῷ·
„Οὔ μοι ἔτ᾽ — μολπῆς.“
ἀξίωμα καταφατικόν. Ναὶ οὐ ἀντίκειται τῷ·
„Οὔ μοι ἔτ᾽ — μολπῆς.“
ἀξίωμα καταφατικόν. Ναὶ οὐ ποιητής τις οὕτως ἀπεφήνατο·
„Οὔ μοι ἔτ᾽ — μολπῆς.“
10. *Εἰ Κύκλωψ ὁ τοῦ Τιμοθέου πρός τινα οὕτως ἀπεφήνατο·*

---

28 cod. οὔ μοι, corr. Bergk.

VII. (Timoth. fr. 4)
„Οὔτοι τόν γ' ὑπεραμπέχοντ' οὐρανὸν εἰσαναβήσει.“
ἀντίκειται ἑνὶ καταφατικῷ ἀξιώματι δύο ἀποφατικὰ ἀξιώματα.
ναὶ οὐ ἀντίκειται ἑνὶ καταφατικῷ ἀξιώματι δύο ἀποφατικὰ ἀξιώματα.
ναὶ οὐ Κύκλωψ ὁ τοῦ Τιμοθέου πρός τινα οὕτως ἀπεφήνατο·
„Οὔτοι τόν — εἰσαναβήσει.“

11. *Εἰ οὕτως ἀπεφήνατό τις·* (trag. fr. adesp. 78 N.)
„Οὐκ οἶδα· τἀληθὲς γὰρ ἀσφαλὲς φράσαι.“
ἀποφαίνοιτ' ἄν τις·
„[οὐκ] οἶδα — φράσαι.“
ναὶ οὐ ἀποφαίνοιτ' ἄν τις·
„[κ] οἶδα — φράσαι.“
ναὶ οὐ οὕτως ἀπεφαίνετό τις·
„οὐκ οἶδαι — φράσαι.“

12. *Εἰ οὕτως ἀποφαίνοιτ' ἄν τις·* (Thesp. fr. 2 N.)
VIII. „[κ] ἐξαθρήσας οἶδ'· ἰδὼν δέ σοι λέγω.“
Θέσπις ὁ ποιητὴς οὕτως ἀπέφασκεν·
„οὐκ ἐξαθρήσας οἶδ'· ἰδὼν δέ σοι λέγω.“
ναὶ οὐ οὕτως ἀποφαίνοιτ' ἄν τις·
„[κ] ἐξαθρήσας οἶδ'· ἰδὼν δέ σοι λέγω.“
ναὶ οὐ Θέσπις ὁ ποιητὴς οὕτως ἀπέφασκεν·
„οὐκ ἐξαθρήσας οἶδ'· ἰδὼν δέ σοι λέγω.“

13. *Εἰ Σαπφὼ οὕτως ἀπεφήνατο·* (fr. 69 Bgk.)
„οὐδ' ἴαν δοκίμοιμι προσιδοῖσαν φάος ἀλίω
ἔσσεσθαι σοφίαν παρθένον εἰς οὐδένα πω χρόνον
τοιαύταν.“
ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·
„οὐδ' ἴαν — — — τοιαύταν.“
ναὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·
IX. „οὐδ' ἴαν — — — τοιαύταν.“
ναὶ οὐ Σαπφὼ οὕτως ἀπεφαίνετο·
„οὐδ' ἴαν — — — τοιαύταν.“

14. *Εἰ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·* (Ibyc. fr. 27 Bgk.)
„οὐκ ἔστιν ἀποφθιμένοις ζωᾶς ἔτι φάρμακον εὑρεῖν.“
οὐκ [ὁ] Ἴβυκος ὁ ποιητὴς οὕτως ἀ(πε)φαίνετ(ο)·
„οὐκ ἔστιν — — — εὑρεῖν.“
ναὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·
„οὐκ ἔστιν — — — εὑρεῖν.“

---

10 *οὐκ* seclusit Bergk. 12 *οἶδα* Bergk, *κοῖδα* cod. 16. 20 *ἐξαθρήσας* Bergk, *κεξαθρήσας* cod. 29 *οὐκ* cod., sed *κ* deletum a librario. 33 *οὐ* et mox *οὐκ* ante *ὁ Ἴβυκος* del. Bergk. 35 *ὁ* seclusi.

180 *καὶ οὐ Ἴβυκος ὁ ποιητὴς οὕτως ἀπεφαίνετο·*
„*οὐκ ἔστιν — — — εὑρεῖν.*“

15. *Εἰ οὐ εἰσὶν ἀμφίβολοι διάλεκτοι,* [*οὐ*] *Εὐριπίδης οὕτως ἀποφηνάμενος·* (Eur. Dictys fr. 344 N.)
„*οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.*“
[*ἀπέφασκεν·*
„*ἂν γένοιτο — πατρός.*“
*καὶ οὐ εἰσὶν ἀμφίβολοι διάλεκτοι· καὶ οὐ Εὐριπίδης, οὕτως ἀποφηνάμενος·*
„*οὐκ ἂν γένοιτο — πατρός.*“
*ἀπέφασκεν·*
„*ἂν γένοιτο — πατρός.*“
— — — — — — — — — — — — — — — —

16. *Εἰ ἢ ψεῦδος ἢ ἀληθές ἐστιν, ὃ ἐλέχθη ὑπ' Εὐριπίδου τὸν τρόπον τοῦτον·* (Eur. Hel. 1261)
„*οὐχ ὧδε ναύτας ὀλομένους τυμβεύομεν.*“
X. *ἀντί*]*κειται ἀξίωμα καταφατικὸν τῷ·*
„*οὐχ ὧδε — — τυμβεύομεν.*“
*καὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*οὐχ ὧδε — — τυμβεύομεν.*“
*καὶ οὔτε ψεῦδος οὔτε ἀληθές ἐστιν* (*ὃ ἐλέχθη*) *ὑπ' Εὐριπίδου τὸν τρόπον τοῦτον·*
„*οὐχ ὧδε — — τυμβεύομεν.*“

17. (*Εἰ*) *ἀληθῶς Εὐριπίδης* (*ἔλ*)*εγεν·* (Eur. Phoenix fr. 814 N.)
„*οὐκ ἔστι* (*τοῦ θρ*)*έψαντος ἥδιον πέδον.*“
*ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*οὐκ ἔστι — — πέδον.*“
*καὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*οὐκ ἔστι — — πέδον.*“
*καὶ οὐ ἀληθῶς Εὐριπίδης ἔλεγεν·*
„*οὐκ ἔστι — — πέδον.*“

18. *Εἰ Εὐριπίδης οὕτως ἀπεφαίνετο·* (Eur. Suppl. 270)
„*οὐκ ἔστιν οὐθὲν διὰ τέλους εὐδαιμονεῖν.*“
*ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*οὐκ ἔστιν — εὐδαιμονεῖν.*“
*καὶ οὐ ἀντίκειται ἀξίωμα καταφατικὸν τῷ·*
„*οὐκ ἔστιν — εὐδαιμονεῖν.*“

---

6 quae uncis inclusi, non sunt in codice; supplevi partim secutus Bergkium. 21 ὃ *ἐλέχθη* add. Bergk. 24 *Εἰ* deest in cod. ‖ . . *εγεν* cod. 25 *ἔστι* . . . . . *εψαντος* cod. 30 *καὶ* in marg. add. librarius. 33 *εὐδαιμονοῦν* Eurip.

καὶ οὐ Εὐριπίδης οὕτως ἀπεφαίνετο· 180
„οὐκ ἔστιν — εὐδαιμονεῖν.“

19. Εἰ οὕτως ἀπεφαίνετό τις τῶν ποιητῶν· (trag. fr. adesp. 79 N.)
„οὐκ ἀξιῶ μικ(ρ)ῶν σε· μεγάλα δ' οὐκ ἔχω.“
ἔστιν τις ὃς οὕτως ἀποφαίνοιτ' ἄν·
„ἀξιῶ μικ(ρ)ῶν — ἔχω.“
καὶ οὐ ἔστιν τις ὃς οὕτως ἀποφαίνοιτ' ἄν·
„[κ] ἀξιῶ μικ(ρ)ῶν — ἔχω.“
καὶ οὐ ἀπεφαίνετό τις τῶν ποιητῶν οὕτως·
„οὐκ ἀξιῶ — — ἔχω.“

20. Εἰ Ἀγαμέμνων οὕτως ἀπέφασκεν· (Cypriorum fr. 13 K.)
„οὐκ ἐφάμην Ἀχιλῆι χολώσειν ἄλκιμον ἦτορ
ὧδε μάλ' ἐκπάγλως, ἐπειδὴ μάλα μοι φίλος ἦην.“
ἀξίωμά ἐστιν·
„[κ] ἐφάμην Ἀχιλῆι — — ἦην.“
καὶ οὐκ ἀξίωμά ἐστιν·
„[κ] ἐφάμην Ἀχιλῆι — — ἦην.“
καὶ οὐ Ἀγαμέμνων οὕτως ἀπέφασκεν·
„οὐκ ἐφάμην — — — ἦην.“

21. Εἰ Ἀλκμὰν ὁ ποιητὴς οὕτως ἀπεφαίνετο· (Alcm. fr. 25)
„οὐκ ἧς ἀνὴρ ἄγροικος οὐδὲ σκαιός.“
καταφάσκοι ἄν τις·
„[κ] ἧς ἀνὴρ — σκαιός.“
καὶ οὐ καταφάσκοι ἄν τις·
„[κ] ἧς ἀνὴρ — σκαιός.“
καὶ οὐκ Ἀλκμὰν ὁ ποιητὴς οὕτως ἀπεφαίνετο·
„οὐκ ἧς — — σκαιός.“

22. Εἰ οὕτως ἀποφαίνοιτ' ἄν τις· (Anacr. fr. 15)
„[οὐ]δηὖτ' ἔμπεδός εἰμι,
οὐδ' ἀστοῖσι προσηνής,
οὐ Ἀνακρέων οὕτως ἀπεφήνατο·
οὐ δηὖτ' — προσηνής·
καὶ οὐ οὕτως ἀποφαίνοιτ' ἄν τις·
„δηὖτ' — — προσηνής.“
καὶ οὐ Ἀνακρέων οὕτως ἀπεφήνατο·
„οὐ δηὖτ' — — προσηνής.“

23. Εἰ Σαπφὼ οὕτως ἀποφαινομένη· (Sappho fr. 36)
„οὐκ οἶδ' ὅττι θέω· δύο μοι τὰ νοήματα.“

---

4 μικῶν cod. semper. 8 καξιω cod., corr. Bergk. 15. 17 κεφαμην cod., corr. Bergk. 25 κης cod., corr. idem. 29 οὐ del. idem.

180 ἀπέφασκεν·
„οἶδ' ὅττι — — νοήματα.“
εἰσὶν ἀμφίβολοι διάλεκτοι. ναὶ οὐ εἰσὶν ἀμφίβολοι διάλεκτοι.
ναὶ οὐ Σαπφὼ οὕτως ἀποφαινομένη·
„οὐκ οἶδ' ὅττι — — νοήματα.“
ἀπέφασκεν·
„οἶδ' ὅττι — — νοήματα.“
Εἰ Σαπφὼ οὕτως ἀπέφασκεν·
„οὐκ οἶδ' — — νοήνατα.“
ἔστιν τι καταφατικὸν ἀξίωμα ἀντικείμενον τῷ·
„οὐκ οἶδ' — — νοήματα.“
ναὶ οὐ ἔστιν τι καταφατικὸν ἀξίωμα ἀντικείμενον τῷ·
„οὐκ οἶδ' — — νοήματα.“
ναὶ οὐ Σαπφὼ οὕτως ἀπέφασκεν·
„οὐκ οἶδ' — — νοήματα.“
24. Εἰ ποιητής τις οὕτως ἀπεφαίνετο· (lyr. fr. adesp. 106 Bgk.)
„οὐκ εἶδον ἀνεμωκέα κόραν.“
ἔστιν τι καταφατικὸν ἀξίωμα ἀντικείμενον τῷ·
„οὐκ εἶδον — κόραν.“
ναὶ οὐ ἔστιν τι καταφατικὸν ἀξίωμα ἀντικείμενον τῷ·
„οὐ ‖

tredecim versus desiderantur

| α κό(ραν . . . . . . | καταφατ(ικῷ δύο ἀξιώ)|ματα ἀπ(οφατικὰ ἀν)|τίκειται . . . . . . . . | δέχεται . . . . . . . . | σιν κἀκεῖνα . . . . . | ἀποφαιν . . . . . . . . |κ εἶδον ἀνεμωκέα κό|ραν ἀποφ . . . . . . . . | νεμωκέα κόραν . . . . | των ου ειδ . . . . |

## § 2. *Λεκτὰ ἐλλιπῆ.*

**181** Diocles Magnes apud. Diog. Laërt. VII 63. *φασὶ δὲ [τὸ] λεκτὸν εἶναι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. τῶν δὲ λεκτῶν τὰ μὲν λέγουσιν εἶναι αὐτοτελῆ οἱ Στωϊκοί, τὰ δὲ ἐλλιπῆ· ἐλλιπῆ μὲν οὖν ἐστι τὰ ἀναπάρτιστον ἔχοντα τὴν ἐκφοράν, οἷον „γράφει“. ἐπιζητοῦμεν γάρ „τίς;“ αὐτοτελῆ δ' ἐστὶ τὰ ἀπηρτισμένην ἔχοντα τὴν ἐκφοράν, οἷον· „γράφει Σωκράτης“.*

**182** Philo de agricultura § 139. Vol. II p. 122, 18 Wendl. *ὅτι τῶν ὄντων τὰ μέν ἐστι σώματα, τὰ δ' ἀσώματα· καὶ ⟨τῶν σωμάτων⟩ τὰ μὲν ἄψυχα, τὰ δὲ ψυχὴν ἔχοντα· καὶ τὰ μὲν λογικά, τὰ δ' ἄλογα· καὶ τὰ μὲν θνητά, τὰ δὲ θεῖα· καὶ τῶν θνητῶν τὸ μὲν ἄῤῥεν, τὸ δὲ θῆλυ, τὰ ἀνθρώπου τμήματα. Καὶ πάλιν τῶν ἀσωμάτων τὰ μὲν τέλεια, τὰ δ' ἀτελῆ· καὶ τῶν τελείων τὰ μὲν ἐρωτήματα καὶ πύσματα, ἀρατικά τε αὖ καὶ ὁρκι-*

---

28 *τὸ* seclusi. 35 *τῶν σωμάτων* add. Wendl. 38 *καὶ* Wendl., *ἢ* libri. 39 *ἀρατικά* Menagius ad Diog. Laërt. VII 66, *ἐρωτικὰ* codd.

κὰ καὶ ὅσαι ἄλλαι τῶν κατ' εἶδος ἐν ταῖς περὶ τούτων στοιχειώσεσιν ἀναγράφονται διαφοραί.

Τὰ δὲ πάλιν ἃ διαλεκτικοῖς ἔθος ἐστὶν ὀνομάζειν ἀξιώματα· καὶ τούτων τὰ μὲν ἁπλᾶ, τὰ δ' οὐχ ἁπλᾶ· καὶ τῶν οὐχ ἁπλῶν τὰ μὲν συνημμένα, τὰ δὲ παρασυνημμένα τὸ μᾶλλον ἢ ἧττον· καὶ προσέτι δὲ διεζευγμένα καὶ ἄλλα τοιουτότροπα· ἔτι δ' ἀληθῆ τε καὶ ψευδῆ καὶ ἄδηλα, δυνατά τε καὶ ἀδύνατα· [καὶ τὰ μὲν φθαρτὰ καὶ ἄφθαρτα,] καὶ ἀναγκαῖα καὶ οὐκ ἀναγκαῖα, καὶ εὔπορά τε καὶ ἄπορα, καὶ ὅσα συγγενῆ τούτοις.

Πάλιν δὲ τῶν ἀτελῶν αἱ εἰς τὰ λεγόμενα κατηγορήματα καὶ συμβεβηκότα καὶ ὅσα τούτων ἐλάττω διαιρέσεις προσεχεῖς.

**183** Diocles Magnes apud Diog. Laërt. VII 63. ἐν μὲν οὖν τοῖς ἐλλιπέσι λεκτοῖς τέτακται τὰ κατηγορήματα· — 64. ἔστι δὲ τὸ κατηγόρημα τὸ κατά τινος ἀγορευόμενον· ἢ πρᾶγμα συντακτὸν περί τινος ἢ τινῶν, ὡς οἱ περὶ Ἀπολλόδωρόν φασιν, ἢ λεκτὸν ἐλλιπὲς συντακτὸν ὀρθῇ πτώσει πρὸς ἀξιώματος γένεσιν. τῶν δὲ κατηγορημάτων τὰ μέν ἐστι συμβάματα **** οἷον τὸ „διὰ πέτρας πλεῖν". καὶ τὰ μέν ἐστι τῶν κατηγορημάτων ὀρθά, ἃ δ' ὕπτια, ἃ δ' οὐδέτερα. ὀρθὰ μὲν οὖν ἐστι τὰ συντασσόμενα μιᾷ τῶν πλαγίων πτώσεων πρὸς κατηγορήματος γένεσιν, οἷον „ἀκούει" „ὁρᾷ" „διαλέγεται". ὕπτια δέ ἐστι τὰ συντασσόμενα τῷ παθητικῷ μορίῳ, οἷον „ἀκούομαι" „ὁρῶμαι". οὐδέτερα δ' ἐστὶ τὰ μηδετέρως ἔχοντα, οἷον „φρονεῖ" „περιπατεῖ". ἀντιπεπονθότα δέ ἐστιν ἐν τοῖς ὑπτίοις, ἃ ὕπτια ὄντα ἐνεργήματά [δέ] ἐστιν, οἷον „κείρεται". ἐμπεριέχει γὰρ ἑαυτὸν ὁ κειρόμενος. πλάγιαι δὲ πτώσεις εἰσὶ γενικὴ καὶ δοτικὴ καὶ αἰτιατική.

**184** Porphyrius apud Ammonium in Aristot. de interpr. p. 44, 19 Busse. („ἐν οἷς καὶ προσιστορεῖ (scil. Porphyrius) τὴν τῶν Στωϊκῶν διάταξιν περὶ τῶν κατηγορουμένων ὅρων ἐν ταῖς προτάσεσιν οὖσαν τοιαύτην.) „Τὸ κατηγορούμενον ἤτοι ὀνόματος κατηγορεῖται ἢ πτώσεως, καὶ τούτων ἑκάτερον ἤτοι τέλειόν ἐστιν ὡς κατηγορούμενον καὶ μετὰ τοῦ ὑποκειμένου αὔταρκες πρὸς γένεσιν ἀποφάνσεως, ἢ ἐλλιπὲς καὶ προσθήκης τινὸς δεόμενον πρὸς τὸ τέλειον ποιῆσαι κατηγορούμενον. ἂν μὲν οὖν ὀνόματός τι κατηγορηθὲν ἀπόφανσιν ποιῇ, κατηγόρημα καὶ σύμβαμα παρ' αὐτοῖς ὀνομάζεται (σημαίνει γὰρ ἄμφω ταὐτὸν), ὡς τὸ „περιπατεῖ", οἷον „Σωκράτης περιπατεῖ". ἂν δὲ πτώσεως, παρασύμβαμα, ὡσανεὶ παρακείμενον τῷ συμβάματι καὶ ὂν οἷον παρακατηγόρημα. ὡς ἔχει τὸ „μεταμέλει", οἷον „Σωκράτει μεταμέλει". τὸ μὲν γὰρ „μεταμελεῖται" σύμβαμα εἶναι, τὸ δὲ „μεταμέλει" παρασύμβαμα οὐ δυνάμενον ὀνόματι συνταχθὲν ἀπόφανσιν ἐργάσασθαι, οἷον „Σωκράτης μεταμέλει" (οὐδεμία γὰρ τοῦτο ἀπόφανσις) ἀλλ' οὔτε κλίσιν ἐπιδέξασθαι δυνάμενον, ὡς τὸ „περιπατῶ, περιπατεῖς, περιπατεῖ" οὔτε συμμετασχηματισθῆναι τοῖς ἀριθμοῖς· ὥσπερ γὰρ λέγομεν „τούτῳ μεταμέλει" οὕτως καὶ „τούτοις μεταμέλει". καὶ πάλιν ἂν μὲν τὸ τοῦ ὀνόματος κατηγορούμενον δέηται προσθήκης πτώσεως ὀνόματός τινος πρὸς τὸ ποιῆσαι ἀπό-

---

5 supplendum puto: ⟨τὰ δὲ διασαφοῦντα⟩ τὸ μᾶλλον ἢ ἧττον. 6 ἔτι Wendl., εἰ MAGH[1]. 7 καὶ τὰ—ἄφθαρτα secl. Wendl. 8 εὔπορά τε καὶ ἄπορα Turn., ἄπορά τε καὶ εὔπορα codd. 12 Scripsit Chrysippus περὶ τῶν κατηγορημάτων πρὸς Μητρόδωρον ι' Vide n. 13 v. 16 multa exciderunt, certe: τὰ δὲ παρασυμβάματα ‖ διὰ πέτρας πλεῖν corrupta. 21 φρονεῖν περιπατεῖν libri, quod correxi. ‖ ἃ ὕπτια Cobetus ἀνύπτια libri. 22 δὲ del. Cobetus. ‖ αὑτὸν BP αὐτὸν F. 23 καὶ bis om. F.

φανσιν, ἔλαττον ἢ κατηγόρημα λέγεται, ὡς ἔχει τὸ „φιλεῖ" καὶ τὸ „εὐνοεῖ", οἷον „Πλάτων φιλεῖ"· τούτῳ γὰρ προστεθὲν τὸ τινά, οἷον Δίωνα, ποιεῖ ὡρισμένην ἀπόφανσιν τὴν „Πλάτων Δίωνα φιλεῖ". ἂν δὲ τὸ τῆς πτώσεως κατηγορούμενον ᾖ τὸ δεόμενον ἑτέρᾳ συνταχθῆναι πλαγίᾳ πτώσει πρὸς τὸ ποιῆσαι ἀπόφανσιν, ἔλαττον ἢ παρασύμβαμα λέγεται, ὡς ἔχει τὸ μέλει, οἷον „Σωκράτει Ἀλκιβιάδου μέλει". ταῦτα δὲ πάντα καλοῦσι ῥήματα". καὶ τοιαύτη μὲν ἡ τῶν Στωϊκῶν περὶ τούτων παράδοσις.

Eadem fere Stephanus in Aristot. de interpret. p. 10, 22 sq. p. 11, 8 sq. Hayd. (Comment. graec. XVIII, 3), Cf. etiam Apollon. περὶ συντ. III 32 μεταμέλει γὰρ Σωκράτει καὶ ἔτι μέλει, τῆς ὀρθῆς οὐ συνούσης, διὸ καὶ παρασυμβάματα αὐτὰ ἐκάλεσαν οἱ ἀπὸ τῆς Στοᾶς, τῶν ἄλλων ῥημάτων κατὰ τὰς συμβαινούσας διαθέσεις παρ' αὐτοῖς συμβαμάτων προσαγορευομένων ἢ καὶ ἔτι κατηγορημάτων· καὶ τὸ μὲν ἀπαρτίζον τὴν διάνοιαν παρασύμβαμα, λέγω τὸ „μέλει Σωκράτει", τὸ δὲ ἐλλεῖπον ἧττον ἢ παρασύμβαμα, λέγω δὴ τὸ „μέλει". Idem I, 8 πᾶν ἀπαρέμφατον ὄνομά ἐστι ῥηματικόν, εἴ γε καὶ οἱ ἀπὸ τῆς Στοᾶς αὐτὸ μὲν καλοῦσι ῥῆμα, τὸ δὲ „περιπατεῖ" ἢ „γράφει" κατηγόρημα ἢ σύμβαμα. Falsa de iisdem rebus produnt Suid. s. v. σύμβαμα Priscianus XVIII p. 1118.

**185** Simplicius in Aristot. categ. f. 84 Δ ed. Bas. Παρατηρεῖν δὲ δεῖ καὶ πότε ὀρθόν ἐστι καὶ πότε ὕπτιον τὸ ἐνέργημα ἢ πάθος. αὐτίκα τὸ μὲν λυπεῖν ὀρθὸν τοῖς πολλοῖς δοκεῖ, τὸ δὲ λυπεῖσθαι ὕπτιον. οὐ μὴν ἀεὶ τοῦτο συμβαίνει, ὥσπερ ἐπὶ τοῦ τύπτοντος καὶ τυπτομένου· ἐνδέχεται γὰρ μὴ ἀεὶ συνεῖναι τὸν λυποῦντα, οἷον τὸν ἀποθανόντα υἱόν, εἰ ἐπ' αὐτῷ τις λυποῖτο· ἐνδέχεται δὲ καὶ μὴ λυπεῖσθαι, εἰ μὴ ἄρα ἡ φαντασία, ποιητικὸν οὖσα καὶ αὐτὴ αἴτιον, ἐπιμένει. ἔστι δ' ὅταν καὶ παυσαμένου τοῦ ποιοῦντος πάσχει τὸ πάσχον, ἐπιμενούσης τῆς διαθέσεως, ὡς ἐπὶ τοῦ ὑπὸ πυρὸς θερμαινομένου καὶ μετὰ τὴν ἀναχώρησιν τοῦ πυρὸς ἔτι πάσχοντος τὸ θερμαίνεσθαι· διττὸν γὰρ τὸ πάσχειν, τὸ μὲν τῷ ποιεῖν συνηρτημένον, τὸ δὲ κατὰ τὴν διάθεσιν θεωρούμενον. ἴσως δὲ καὶ ἐνταῦθα ἔνδον συνέζευκται τὸ ποιοῦν, ἤτοι ἡ φαντασία ἢ τὸ ἔξωθεν ἐγγενόμενον πῦρ. τοῖς οὖν πράγμασιν ἀλλ' οὐ ταῖς λέξεσιν ἐν τῇ τούτων ἐπικρίσει ἀκολουθεῖν καλόν. πολλὴ δὲ ἡ τῶν τοιούτων ἐξεργασία παρὰ τοῖς Στωϊκοῖς· ὧν ἐφ' ἡμῶν καὶ ἡ διδασκαλία καὶ τὰ πλεῖστα τῶν συγγραμμάτων ἐπιλέλοιπεν.

## § 3. *Περὶ Λεκτῶν αὐτοτελῶν.*

Scripsit Chrysippus de rebus hac paragrapho tractatis:

περὶ προσταγμάτων β'
περὶ ἐρωτήσεως β'
περὶ πεύσεως δ'
ἐπιτομὴ περὶ ἐρωτήσεως καὶ πεύσεως α'.

**186** Diocles Magnes apud Diog. Laërt. VII 66. διαφέρει δὲ ἀξίωμα καὶ ἐρώτημα καὶ πύσμα ⟨καὶ⟩ προστακτικὸν καὶ ὁρκικὸν καὶ ἀρατικὸν καὶ ὑποθετικὸν καὶ προσαγορευτικὸν καὶ πρᾶγμα ὅμοιον ἀξιώματι. ἀξίωμα μὲν

---

20 Scripsit Chrysippus περὶ ὀρθῶν καὶ ὑπτίων πρὸς Φίλαρχον α'. Vide n. 13 v. 41 καὶ addidi. ‖ ὁρικόν B.

γάρ ἐστιν ὃ λέγοντες ἀποφαινόμεθα, ὅπερ ἢ ἀληθές ἐστιν ἢ ψεῦδος. ἐρώτημα δέ ἐστι πρᾶγμα αὐτοτελὲς μέν, ὡς καὶ τὸ ἀξίωμα, αἰτητικὸν δὲ ἀποκρίσεως, οἷον „ἆρά γε ἡμέρα ἐστί;“ τοῦτο δὲ οὔτε ἀληθές ἐστιν οὔτε ψεῦδος· ὥστε τὸ μὲν „ἡμέρα ἐστίν“ ἀξίωμά ἐστι, τὸ δὲ „ἆρά γε ἡμέρα ἐστίν;“ ἐρώτημα. πύσμα δέ ἐστι πρᾶγμα πρὸς ὃ συμβολικῶς οὐκ ἔστιν ἀποκρίνεσθαι, ὡς ἐπὶ τοῦ ἐρωτήματος, „ναί“, ἀλλὰ ⟨δεῖ⟩ εἰπεῖν „οἰκεῖ ἐν τῷδε τῷ τόπῳ“. προστακτικὸν δέ ἐστι πρᾶγμα, ὃ λέγοντες πραστάσσομεν, οἷον· (fr. trag. adesp. 144 *N*)

„σὺ μὲν βάδιζε τὰς ἐπ' Ἰνάχου ῥοάς“.

ὁρκικὸν **** ⟨προσαγορευτικὸν⟩ δέ ἐστι πρᾶγμα, ὃ εἰ λέγοι τις, προσαγορεύοι ἄν, οἷον

„Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγαμέμνον“.

ὅμοιον δέ ἐστιν ἀξιώματι, ὃ τὴν ἐκφορὰν ἔχον ἀξιωματικὴν παρά τινος μορίου πλεονασμὸν ἢ πάθος ἔξω πίπτει τοῦ γένους τῶν ἀξιωμάτων, οἷον·

„καλός γ' ὁ παρθενών“.

„ὡς Πριαμίδῃσιν ἐμφερὴς ὁ βουκόλος“ (frg. trag. adesp. 109) ἔστι δὲ καὶ ἐπαπορητικόν τι πρᾶγμα διενηνοχὸς ἀξιώματος, ὃ εἰ λέγοι τις, ἀπορoίη ἄν· (Menandri fr. 281, 9 Kock)

„ἆρ' ἔστι συγγενές τι λύπη καὶ βίος;“

οὔτε δὲ ἀληθῆ ἐστιν οὔτε ψευδῆ τὰ ἐρωτήματα καὶ τὰ πύσματα καὶ τὰ τούτοις παραπλήσια, τῶν ἀξιωμάτων ἢ ἀληθῶν ἢ ψευδῶν ὄντων.

**187** Sextus adv. math. VIII 70. αὐτίκα γὰρ — ἠξίουν οἱ Στωϊκοὶ κοινῶς ἐν λεκτῷ τὸ ἀληθὲς εἶναι καὶ τὸ ψεῦδος. λεκτὸν δὲ ὑπάρχειν φασὶ τὸ κατὰ λογικὴν φαντασίαν ὑφιστάμενον· λογικὴν δὲ εἶναι φαντασίαν καθ' ἣν τὸ φαντασθὲν ἔστι λόγῳ παραστῆσαι. τῶν δὲ λεκτῶν τὰ μὲν ἐλλιπῆ καλοῦσι τὰ δὲ αὐτοτελῆ. ὧν τὰ μὲν ἐλλιπῆ παρείσθω νῦν, τῶν δὲ αὐτοτελῶν πλείους εἶναί φασι ⟨διαφοράς⟩. καὶ γὰρ προστακτικὰ καλοῦσί τινα, ἅπερ προστάσσοντες λέγομεν, οἷον „δεῦρ' ἴθι νύμφα φίλη“ (Il. *Γ* 30) καὶ ἀποφαντικά, ἅπερ ἀποφαινόμενοί φαμεν, οἷον „ὁ Δίων περιπατεῖ“, καὶ πύσματα, ἅπερ λέγοντες πυνθανόμεθα, οἷον „ποῦ οἰκεῖ Δίων;“ ὀνομάζεται δέ τινα παρ' αὐτοῖς καὶ ἀρατικά, ἅπερ λέγοντες ἀρώμεθα „ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος“ (Il. *Γ* 300) καὶ εὐκτικά, ἅπερ λέγοντες εὐχόμεθα „Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε, δὸς νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχος ἀρέσθαι“ (Il. *Η* 202). προσαγορεύουσι δέ τινα τῶν αὐτοτελῶν καὶ ἀξιώματα, ἅπερ λέγοντες ἢ ἀληθεύομεν ἢ ψευδόμεθα. ἔστι δέ τινα καὶ πλείονα ἢ ἀξιώματα, οἷον τὸ μὲν τοιοῦτο „Πριαμίδῃσιν ἐμφερὴς ὁ βουκόλος“ ἀξίωμά ἐστιν· ἢ γὰρ ἀληθεύομεν λέγοντες αὐτὸ ἢ ψευδόμεθα· τὸ δὲ οὕτως ἔχον „ὡς Πριαμίδῃσιν ἐμφερὴς ὁ βουκόλος“ πλέον τι ἀξιώματός ἐστι καὶ οὐκ ἀξίωμα. πλὴν ἱκανῆς οὔσης ἐν τοῖς λεκτοῖς διαφορᾶς, ἵνα τι, φασίν, ἀληθὲς ᾖ ἢ ψεῦδος, δεῖ αὐτὸ πρὸ παντὸς λεκτὸν εἶναι, εἶτα καὶ αὐτοτελές, καὶ οὐ κοινῶς ὁποῖον δήποτε οὖν ἀλλ' ἀξίωμα· μόνον γὰρ τοῦτο, ὡς προεῖπον, λέγοντες ἤτοι ἀληθεύομεν ἢ ψευδόμεθα.

**188** Ammonius in Aristot. de interpret. p. 2, 26 Busse. καλοῦσι δὲ οἱ Στωϊκοὶ τὸν μὲν ἀποφαντικὸν λόγον ἀξίωμα, τὸν δὲ εὐκτικὸν ἀρατικόν, τὸν δὲ κλητικὸν προσαγορευτικόν, προστιθέντες τούτοις ἕτερα πέντε λόγων εἴδη

---

6 *δεῖ* addidi. 10 lacunam hausisse definitiones ὁρκικοῦ, ἀρατικοῦ, ὑποθετικοῦ vidit Hübner. 13 εἰσφορὰν BPF, corr. Menag. 14 πάθους BP. 15 καλλὸς B. 21 ἀληθινῶν BF. 27 διαφοράς add. Bk.

σαφῶς ὑπό τινα τῶν ἀπηριθμημένων ἀναφερόμενα· λέγουσι γὰρ τὸ μέν τι εἶναι *ὁμοτικὸν* οἷον·

ἴστω νῦν τόδε γαῖα,

τὸ δὲ *ἐκθετικὸν* οἷον „ἔστω εὐθεῖα γραμμὴ ἥδε", τὸ δὲ *ὑποθετικὸν* οἷον „ὑποκείσθω τὴν γῆν κέντρον εἶναι τῆς τοῦ ἡλίου σφαίρας" τὸ δὲ *ὅμοιον ἀξιώματι* οἷον

ὡς ὡραΐζεται ἡ τύχη εἰς τοὺς βίους (Menander fr. 855)

ἅπερ ἅπαντα δεκτικὰ ὄντα ψεύδους τε καὶ ἀληθείας ὑπάγοιντο ἂν τῷ ἀποφαντικῷ. — — πέμπτον δέ τι πρὸς τούτοις εἶναί φασι τὸ *ἐπαπορητικὸν* οἷον·

Δᾶος πάρεστι· τί ποτ' ἐπαγγελῶν ἄρα;

ὅπερ ἐναργῶς ταὐτὸν ὂν τυγχάνει τῷ ἐρωτηματικῷ, πλὴν ὅτι προτίθησι τὴν πρόφασιν τῆς ἐρωτήσεως.

**189** Ammonius in Aristot. Analyt. pr. p. 2, 3 Wal. ὥστε οὐ περὶ παντὸς λόγου ἐκεῖ διαλαμβάνει, οὔτε περὶ τοῦ εὐκτικοῦ οὔτε περὶ τοῦ προστακτικοῦ οὔτε ἄλλου τινὸς ἤτοι τῶν πέντε κατὰ τοὺς Περιπατητικοὺς ἢ τῶν δέκα κατὰ *τοὺς Στωϊκοὺς* πλὴν τοῦ ἀποφαντικοῦ. Cf. p. 26, 31.

**190** Scholia Hesiod. Theog. v. 463. τῷ ἐρωτήματι συμβολικῶς ἕπεται ἡ ἀπόκρισις, τῷ *πύσματι* δὲ διεξοδικῶς.

**191** Alexander in Aristot. Topica p. 539, 17. καὶ γὰρ ἐν ἐκείνῳ εἶπε (scil. Aristoteles in Top. lib. I) μὴ εἶναι διαλεκτικὰς ἐρωτήσεις τὰς τί ἐστι τὸ προκείμενον ἐξεταζούσας, ἃ *πύσματα* ἔθος λέγειν *τοῖς νεωτέροις*.

**192** Simplicius in Aristot. categ. f. 103 A. ed. Bas. χωρὶς δὲ τούτων, φασί, πάλαι λέλυται ταῦτα ἐν ταῖς ἐξηγήσεσι τοῦ ὅρου τοῦ ἀξιώματος τοῦ ἀφοριζομένου τὸ ἀξίωμα ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος· οὐ γὰρ τὸ *ὁμοτικὸν* οἷόν τε ἀληθὲς εἶναι ἢ ψευδές, ἀλλ' εὐορκεῖν μὲν ἢ ἐπιορκεῖν ἐν τοῖς ὅρκοις εἰκός· ἀληθεύειν δὲ ἢ ψεύδεσθαι ἐν αὐτοῖς οὐχ οἷόν τε, κἂν περὶ ἀληθῶν ὀμόσῃ τις ἢ ψευδῶν. καὶ τὸ *θαυμαστικὸν* δὲ πλεονάζον τῷ θαύματι παρὰ τὸ ἀξίωμα καὶ τὸ *ψεκτικὸν* τῷ μωμίμῳ (sic!) οὔτε ἀληθές ἐστιν οὔτε ψευδές, ἀλλὰ ὅμοια ἀληθέσιν ἢ ψευδέσιν· ἀλλ' αὗται μὲν ἀπὸ *τῆς Στωϊκῆς* ἀκριβείας ἔστωσαν αἱ λύσεις.

## § 4. Περὶ ἀξιωμάτων.
### Περὶ ἁπλῶν ἀξιωμάτων.

Ex Chrysippi libris ad hanc paragraphum pertinent:

περὶ ἀξιωμάτων α´
περὶ τῶν καταγορευτικῶν πρὸς Ἀθηνόδωρον α´
περὶ τῶν ἀορίστων ἀξιωμάτων πρὸς Δίωνα γ´
περὶ τῆς διαφορᾶς τῶν ἀορίστων δ´
περὶ δυνατῶν πρὸς Κλεῖτον δ´
περὶ τῶν κατὰ τὸ ὑποκείμενον ὡρισμένων ἐκφορῶν α´.

**193** Diocles Magnes apud Diog. Laërt. VII 65. ἀξίωμα δέ ἐστιν ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος· ἢ πρᾶγμα αὐτοτελὲς ἀποφαντὸν ὅσον ἐφ' ἑαυτῷ ὡς ὁ Χρύσιππός φησιν ἐν τοῖς διαλεκτικοῖς ὅροις

15 scil. Aristoteles. 30 ed. Bas. ἢ pro altero οὔτε.

„ἀξίωμά ἐστι τὸ ἀποφαντὸν ἢ καταφαντὸν ὅσον ἐφ' ἑαυτῷ οἷον 'ἡμέρα ἐστί' 'Δίων περιπατεῖ'." ὠνόμασται δὲ τὸ ἀξίωμα ἀπὸ τοῦ ἀξιοῦσθαι ἢ ἀθετεῖσθαι. ὁ γὰρ λέγων „ἡμέρα ἐστίν" ἀξιοῦν δοκεῖ τὸ ἡμέραν εἶναι. οὔσης μὲν οὖν ἡμέρας ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα, μὴ οὔσης δὲ ψεῦδος.

**194** Gellius Noct. Att. XVI 8, 1. Cum in disciplinas dialecticas induci atque imbui vellemus, necessus fuit adire atque cognoscere quas vocant dialectici *εἰσαγωγάς*. Tum quia in primo *περὶ ἀξιωμάτων* discendum. — — 4. redimus igitur necessario ad graecos libros. Ex quibus accepimus *ἀξίωμα* esse his verbis: *λεκτὸν αὐτοτελὲς ἀπόφαντον ὅσον ἐφ' αὐτῷ*. — — 8. et omnino quicquid ita dicitur plena atque perfecta verborum sententia, ut id necesse sit aut verum aut falsum esse, id a dialecticis *ἀξίωμα* appellatum est. — —

**195** Sextus adv. math. VIII 10. *οἱ δὲ ἀπὸ τῆς Στοᾶς λέγουσι μὲν τῶν τε αἰσθητῶν τινα καὶ τῶν νοητῶν ἀληθῆ, οὐκ ἐξ εὐθείας δὲ τὰ αἰσθητά, ἀλλὰ κατ' ἀναφορὰν τὴν ὡς ἐπὶ τὰ παρακείμενα τούτοις νοητά· ἀληθὲς γάρ ἐστι κατ' αὐτοὺς τὸ ὑπάρχον καὶ ἀντικείμενόν τινι, καὶ ψεῦδος τὸ μὴ ὑπάρχον καὶ [μὴ] ἀντικείμενόν τινι· ὅπερ ἀσώματον ἀξίωμα καθεστὼς νοητὸν εἶναι.*

**196** Cicero Acad. Pr. II 95. Fundamentum dialecticae est, quidquid enuntietur (id autem appellant *ἀξίωμα* —) aut verum esse aut falsum. Quid igitur? haec vera an falsa sunt: 'si te mentiri dicis idque verum dicis, mentiris [verum dicis]'. Haec scilicet inexplicabilia esse dicitis. — Si ista explicari non possunt nec eorum ullum iudicium invenitur, ut respondere possitis, verane an falsa sint, ubi est illa definitio, effatum esse id, quod aut verum aut falsum sit?

**197** Stobaeus Florileg. 28, 18 H. (28, 15 M.) *Χρυσίππου. Χρύσιππος διαφέρειν ἔφη τὸ ἀληθορκεῖν τοῦ εὐορκεῖν· καὶ τὸ ἐπιορκεῖν τοῦ ψευδορκεῖν. Τὸν μὲν γὰρ ὀμνύντα καθ' ὃν ὀμνύει καιρὸν πάντως ἢ ἀληθορκεῖν ἢ ψευδορκεῖν. τὸ γὰρ ὀμνύμενον ὑπ' αὐτοῦ ἢ ἀληθὲς εἶναι ἢ ψεῦδος, ἐπειδὴ ἀξίωμα τυγχάνει ὄν. τὸν δὲ ὀμνύντα μὴ πάντως καθ' ὃν ὀμνύει χρόνον ἢ εὐορκεῖν ἢ ἐπιορκεῖν, ὅτε μὴ πάρεστιν ὁ χρόνος, εἰς ὃν ἡ ἀναφορὰ τῶν ὅρκων ἐγίγνετο. Ὃν τρόπον γὰρ λέγεσθαί τινα εὐσυνθετεῖν ἢ ἀσυνθετεῖν, οὐχ ὅτε συντίθεται, ἀλλ' ὅτε οἱ χρόνοι ἐνίστανται τῶν κατὰ τὰς ὁμολογίας· οὕτω καὶ εὐορκεῖν τις καὶ ἐπιορκεῖν ῥηθήσεται, ὅταν οἱ καιροὶ παραστῶσι, καθ' οὓς ὡμολόγησεν ἐπιτελέσειν τὰ κατὰ τοὺς ὅρκους.*

**198** Simplicius in Aristot categ. f. 103 B ed Bas. *περὶ δὲ τῶν εἰς τὸν μέλλοντα χρόνον ἀντιφάσεων οἱ μὲν Στωϊκοὶ τὰ αὐτὰ δοκιμάζουσιν, ἅπερ καὶ ἐπὶ τῶν ἄλλων. ὡς γὰρ τὰ περὶ τῶν παρόντων καὶ παρεληλυθό-*

---

17 eadem definitio X 220. Cf. etiam n. 132. 18 *μὴ* del. Meineke. 23 mentiris ⟨an⟩ verum dicis? *Schütz;* verum dicis *seclusi.* ‖ inexplicabilia i. e. *ἄπορα*. 25 effectum *libri optimi.* 31 pugnant haec cum verbis Simplicii, qui non putat *τὸ ὀμοτικόν* esse *ἀξίωμα* n. 192. 38 *τῶν* scripsi, *τὸν* ed. Bas. — Haec ad doctrinam de fato alicuius momenti sunt. Cf. Phys. VI § 6 n. 952sq.

των ἀντικείμενα, οὕτως καὶ τὰ μέλλοντα αὐτά τέ φασι καὶ τὰ μόρια αὐτῶν. ἢ γὰρ τὸ ἔσται ἀληθές ἐστιν ἢ τὸ οὐκ ἔσται, εἰ δεῖ ἤτοι ψευδῆ ἢ ἀληθῆ εἶναι. ὡρίσθαι γὰρ κατ' αὐτὰ τὰ μέλλοντα. καὶ εἰ μὲν ἔσται ναυμαχία αὔριον, ἀληθὲς εἰπεῖν ὅτι ἔσται· εἰ δὲ μὴ ἔσται, ψεῦδος τὸ εἰπεῖν ὅτι ἔσται. ἤτοι ἔσται ἢ οὐκ ἔσται, ἤτοι ἄρα ἀληθὲς ἢ ψεῦδος θάτερον.

**199** Sextus adv. math. VIII 79. τὰ νῦν δὲ ἐκεῖνο ῥητέον ὅτι τὸ αὐτοτελὲς ἀξίωμα σύνθετον εἶναι θέλουσιν, οἷον τὸ „ἡμέρα ἐστί“ σύγκειται ἔκ τε τοῦ „ἡμέρα“ καὶ τοῦ „ἔστιν“.

**200** Proclus in Euclid. p. 193 Friedlein. καὶ οἵ γε ἀπὸ τῆς Στοᾶς ἅπαντα λόγον ἁπλοῦν ἀποφαντικὸν ἀξίωμα προσαγορεύειν εἰώθασιν, καὶ ὅταν διαλεκτικὰς ἡμῖν γράφωσι τέχνας „περὶ ἀξιωμάτων“, τοῦτο διὰ τῶν ἐπιγραμμάτων δηλοῦν ἐθέλουσιν.

**201** Diocles Magnes apud Diog. Laërt. VII 75. πιθανὸν δέ ἐστιν ἀξίωμα τὸ ἄγον εἰς συγκατάθεσιν, οἷον „εἴ τίς τι ἔτεκεν, ἐκείνη ἐκείνου μήτηρ ἐστί“. ψεῦδος δὲ τοῦτο· οὐ γὰρ ἡ ὄρνις ᾠοῦ ἐστι μήτηρ. ἔτι τὰ μέν ἐστι δυνατά, τὰ δὲ ἀδύνατα, καὶ τὰ μὲν ἀναγκαῖα, τὰ δ' οὐκ ἀναγκαῖα. δυνατὸν μὲν τὸ ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι, τῶν ἐκτὸς μὴ ἐναντιουμένων πρὸς τὸ ἀληθὲς εἶναι, οἷον „ζῇ Διοκλῆς“. ἀδύνατον δὲ ὃ μή ἐστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι, οἷον „ἡ γῆ ἵπταται“. ἀναγκαῖον δέ ἐστιν, ὅπερ ἀληθὲς ὂν οὐκ ἔστιν ἐπιδεκτικὸν τοῦ ψεῦδος εἶναι, ἢ ἐπιδεκτικὸν μέν ἐστι, τὰ δ' ἐκτὸς αὐτῷ ἐναντιοῦται πρὸς τὸ ψεῦδος εἶναι, οἷον „ἡ ἀρετὴ ὠφελεῖ“. οὐκ ἀναγκαῖον δέ ἐστιν ὃ καὶ ἀληθές ἐστιν καὶ ψεῦδος οἷόν τε εἶναι, τῶν ἐκτὸς μηδὲν ἐναντιουμένων, οἷον τὸ „περιπατεῖ Δίων“. εὔλογον δέ ἐστιν ἀξίωμα τὸ πλείονας ἀφορμὰς ἔχον εἰς τὸ ἀληθὲς εἶναι, οἷον „βιώσομαι αὔριον“. καὶ ἄλλαι δέ εἰσι διαφοραὶ ἀξιωμάτων καὶ μεταπτώσεις αὐτῶν ἐξ ἀληθῶν εἰς ψεύδη καὶ ἀντιστροφαί, περὶ ὧν ἐν τῷ πλάτει λέγομεν.

Boëthius ad Aristot. de interpr. p. 374. Stoici vero possibile quidem posuerunt, quod susceptibile esset verae praedicationis, nihil his prohibentibus, quae cum extra sint cum ipso tamen fieri contingunt; impossibile autem, quod nullam unquam suscipiat veritatem, aliis extra eventum ipsius prohibentibus; necessarium, quod cum verum sit falsam praedicationem nulla ratione suscipiat.

Idem p. 429. illud autem ignorandum non est, quod Stoicis universalius videatur esse possibile a necessario; dividunt enim enuntiationes hoc modo: „enuntiationum, inquiunt, aliae sunt possibiles, aliae impossibiles; possibilium aliae sunt necessariae, aliae non necessariae; rursus non necessariarum aliae possibiles etc.“ stulte atque improvide idem possibile et genus non necessarii et speciem constituentes.

**202** Plutarchus de Stoic. repugn. c. 46 p. 1055 d. Ὁ δὲ τῶν δυνατῶν λόγος πρὸς τὸν τῆς εἱμαρμένης λόγον αὐτῷ πῶς οὐ μαχόμενός ἐστιν; εἰ γὰρ οὐκ ἔστι δυνατὸν ὅπερ ἢ ἔστιν ἀληθὲς ἢ ἔσται, κατὰ Διόδωρον, „ἀλλὰ πᾶν τὸ ἐπιδεκτικὸν τοῦ γενέσθαι, κἂν μὴ μέλλῃ γενήσεσθαι δυνατόν ἐστιν“ ἔσται δυνατὰ πολλὰ τῶν μὴ καθ' εἱμαρμένην. ⟨Ἢ ἄρα τὴν⟩ ἀνίκητον καὶ ἀνεκβίαστον καὶ

16 ὡς pro καὶ F. 18 εἰς BPF, πρὸς Cobet. 23 μὴ F. 25 διαφοραί εἰσιν (hoc ord.) BF. 26 ἀντίστροφα BPF, corr. Rossius. 40 αὐτῷ: scil. Chrysippo. 44 ἢ ἄρα τὴν supplevi.

περιγενητικὴν ἁπάντων ἡ εἱμαρμένη δύναμιν ἀπόλλυσιν ἢ ταύτης οἵαν ἀξιοῖ Χρύσιππος οὔσης, τὸ ἐπιδεκτικὸν τοῦ γενέσθαι πολλάκις εἰς τὸ ἀδύνατον ἐμπεσεῖται. etc.

**202 a** Alexander Aphrod. comm. in Aristot. Analyt. pr. p. 177,25 Wallies. *Χρύσιππος* δὲ λέγων μηδὲν κωλύειν καὶ δυνατῷ ἀδύνατον ἕπεσθαι πρὸς μὲν τὴν ὑπ' Ἀριστοτέλους εἰρημένην δεῖξιν οὐδὲν λέγει, πειρᾶται δὲ διὰ παραδειγμάτων τινῶν οὐχ ὑγιῶς συγκειμένων δεικνύναι τοῦτο μὴ οὕτως ἔχον. φησὶ γὰρ ἐν τῷ συνημμένῳ τῷ „εἰ τέθνηκε Δίων, τέθνηκεν οὗτος" δεικνυμένου τοῦ Δίωνος ἀληθεῖ ὄντι τὸ μὲν ἡγούμενον ⟨τὸ⟩ „τέθνηκε Δίων" δυνατὸν εἶναι τῷ δύνασθαί ποτε ἀληθὲς γενέσθαι τὸ τεθνηκέναι Δίωνα, τὸ δὲ „τέθνηκεν οὗτος" ἀδύνατον· ἀποθανόντος γὰρ Δίωνος φθείρεσθαι τὸ ἀξίωμα τὸ „οὗτος τέθνηκε" μηκέτ' ὄντος τοῦ τὴν δεῖξιν ἀναδεχομένου· ἐπὶ γὰρ ζῶντος καὶ κατὰ ζῶντος ἡ δεῖξις. εἰ οὖν μή⟨τε⟩ τεθνεῶτος αὐτοῦ ἔτι τὸ „οὗτος" οἷόντε, μήτε πάλιν ὑφίσταται ὁ Δίων, ὡς δύνασθαι ἐπ' αὐτοῦ ῥηθῆναι τὸ „τέθνηκεν οὗτος", ἀδύνατον τὸ „τέθνηκεν οὗτος". ἦν γὰρ ἂν οὐκ ἀδύνατον, εἰ ὕστερόν ποτε ἐδύνατο μετὰ τὸν θάνατον τὸν Δίωνος, ἐφ' οὗ τὸ πρότερον ἐν τῷ συνημμένῳ, ὅτε ἔζη ὁ Δίων, κατηγορεῖτο τὸ „τέθνηκεν οὗτος", κατηγορηθῆναι πάλιν τὸ „οὗτος". ἐπεὶ δὲ μὴ οἷόντε τοῦτο, ἀδύνατον ἂν εἴη τὸ „τέθνηκεν οὗτος". ὅμοιον τούτῳ παρατίθεται καὶ τὸ „εἰ νύξ ἐστιν, οὐκ ἔστιν αὕτη ἡμέρα" δεικνυμένης τῆς ἡμέρας· καὶ γὰρ ἐν τούτῳ τῷ συνημμένῳ ἀληθεῖ ὄντι, ὡς οἴεται, δυνατῷ ὄντι τῷ ἡγουμένῳ ἀδύνατον τὸ ἑπόμενον".

Cf. [Ammonius] in Aristot. Analyt. pr. (Comm. graec. Vol. IV, 6) p. 50, 13 Wal. — Philoponus ad Anal. pr. f. 42 b notabilia sunt verba: τὸ γὰρ „τοῦτο", δεικτικὸν ὑπάρχον, ὄν τι πρᾶγμα σημαίνει, τὸ δὲ τεθνάναι μὴ ὄν· τὸ δὲ ὂν ἀδύνατον μὴ εἶναι. τὸ ἄρα „τεθνάναι τοῦτον" ἀδύνατον.

**202 b** Proclus in Plat. Parmen. Vol. IV p. 103 ed. Cousin. εἰ δέ τις τοσούτων εἰς ἐξέτασιν προκειμένων εἰς τὴν *Στωϊκὴν* τερθρείαν ἀπάγοι τὸν λόγον, ζητῶν εἰ δυνατῷ ἀδύνατον ἀκολουθεῖ τὸ „εἰ τέθνηκε Δίων" εἰς μέσον φέρων· εἰ οὖν τις καὶ τῶν τοιούτων ἀπόρων ἐθέλοι ποιεῖσθαι μνήμην, ἱκανῶς ὑπὸ τῶν Περιπατητικῶν ἐξητασμένων, ῥᾴδιον ἀπαντᾶν.

**203** Diocles Magnes apud Diog. Laërt. VII 68. τῶν ἀξιωμάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δ' οὐχ ἁπλᾶ, ὥς φασιν οἱ περὶ *Χρύσιππον* καὶ Ἀρχέδημον καὶ Ἀθηνόδωρον καὶ Ἀντίπατρον καὶ Κρίνιν· ἁπλᾶ μὲν οὖν ἐστι τὰ συνεστῶτα ἐξ ἀξιώματος μὴ διαφορουμένου [ἢ ἐξ

---

1 ἡ εἱμαρμένη scripsi, ἢ εἱμαρμένην libri. Cf. Phys. VI § 8 n. 959 sq. 10 τὸ add. Ald. 14 τε add. Wal. 15 ὡς Wal., ᾧ libri. 37 καὶ coni. Menag., ἢ libri (ante Ἀρχ.). ‖ κρίνην B. 38 μὴ om. BP.

ἀξιωμάτων], οἷον τὸ „ἡμέρα ἐστίν". οὐχ ἁπλᾶ δέ ἐστι τὰ συνεστῶτα ἐξ ἀξιώματος διαφορουμένου ἢ ἐξ ἀξιωμάτων, ἐξ ἀξιώματος μὲν διαφορουμένου, οἷον „εἰ ἡμέρα ἐστίν, ⟨ἡμέρα ἐστίν⟩", ἐξ ἀξιωμάτων δέ, οἷον „εἰ ἡμέρα ἐστί, φῶς ἐστι".

**204** Diocles Magnes apud Diog. Laërt. VII 69. ἐν δὲ τοῖς ἁπλοῖς ἀξιώμασίν ἐστι τὸ ἀποφατικὸν καὶ τὸ ἀρνητικὸν καὶ τὸ στερητικὸν καὶ τὸ κατηγορικὸν καὶ τὸ καταγορευτικὸν καὶ τὸ ἀόριστον. — — ⟨καὶ ἀποφατικὸν μὲν⟩ οἷον „οὐχὶ ἡμέρα ἐστίν". εἶδος δὲ τούτου τὸ ὑπεραποφατικόν. ὑπεραποφατικὸν δέ ἐστιν ἀποφατικὸν ἀποφατικοῦ, οἷον „οὐχὶ ἡμέρα ⟨οὐκ⟩ ἔστι". τίθησι δὲ τὸ „ἡμέρα ἐστίν". ἀρνητικὸν δέ ἐστι τὸ συνεστὸς ἐξ ἀρνητικοῦ μορίου καὶ κατηγορήματος, οἷον „οὐδεὶς περιπατεῖ". στερητικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ στερητικοῦ μορίου καὶ ἀξιώματος κατὰ δύναμιν, οἷον „ἀφιλάνθρωπός ἐστιν οὗτος". κατηγορικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς καὶ κατηγορήματος, οἷον „Δίων περιπατεῖ". καταγορευτικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς δεικτικῆς καὶ κατηγορήματος, οἷον „οὗτος περιπατεῖ". ἀόριστον δέ ἐστι τὸ συνεστὸς ἐξ ἀορίστου μορίου ἢ ἀορίστων μορίων ⟨καὶ κατηγορήματος⟩, οἷον „τὶς περιπατεῖ", „ἐκεῖνος κινεῖται".

**204 a** [Apuleius] περὶ ἑρμηνείας 266 (p. 2, 9 Goldb.). aliae dedicativae sunt (scil. propositiones) quae dedicant aliquid de quopiam, ut „virtus bonum est" — — aliae abdicativae, quae abdicant aliquid de quopiam, ut „voluptas non est bonum" — — at Stoici hanc quoque dedicativam putant, cum inquiunt: „evenit cuidam voluptati bonum non esse; ergo dedicat, quid evenerit ei, id est, quid sit. idcirco dedicativa, inquiunt, est, quia et in quo negavit esse, dedicat id, quod non videtur esse". Solum autem abdicativum vocant, cui negativa particula praeponitur. Cf. Boëth. ad Arist. de interpr. p. 383 ed. Bas.

**205** Sextus adv. math. VIII 93. τῶν ἀξιωμάτων πρώτην σχεδὸν καὶ κυριωτάτην ἐκφέρουσι διαφορὰν οἱ διαλεκτικοί, καθ' ἣν τὰ μέν ἐστιν αὐτῶν ἁπλᾶ, τὰ δ' οὐχ ἁπλᾶ. καὶ ἁπλᾶ μὲν ὅσα μήτ' ἐξ ἑνὸς ἀξιώματος δὶς λαμβανομένου συνέστηκεν, μήτ' ἐξ ἀξιωμάτων διαφερόντων διά τινος ἢ τινῶν συνδέσμων. — — 94 ἁπλᾶ λέγεται ἀξιώματα, ἐπεὶ οὐκ ἐξ ἀξιωμάτων συνέστηκεν ἀλλ' ἐξ ἄλλων τινῶν. — — 95 οὐχ ἁπλᾶ δὲ ἐτύγχανε τὰ οἷον διπλᾶ, καὶ ὅσα δ' ἐξ ἀξιώματος δὶς λαμβανομένου ἢ ἐξ ἀξιωμάτων διαφερόντων συνέστηκε διὰ συνδέσμου τε ἢ συνδέσμων, οἷον „εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστιν· εἰ νύξ ἐστι, σκότος ἐστίν· καὶ [εἰ] ἡμέρα ἐστὶ καὶ φῶς ἐστιν· ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν".

96 τῶν δὲ ἁπλῶν τινὰ μὲν ὡρισμένα ἐστίν, τινὰ δὲ ἀόριστα, τινὰ δὲ μέσα· ὡρισμένα μὲν τὰ κατὰ δεῖξιν ἐκφερόμενα, οἷον „οὗτος περιπατεῖ, οὗτος κάθηται". δείκνυμι γάρ τινα τῶν ἐπὶ μέρους ἀνθρώπων. ἀόριστα

---

1 ἢ ἐξ ἀξιωμάτων del. Rossius. 3 ἡμέρα ἐστίν addidi; διαφορουμένου om. F. 6 ἀποφαντικόν P[1] in litura F. ‖ καὶ τὸ στ. καὶ τὸ κατηγορικὸν om. B. κατηγορητικόν F. 7 ἀποφατικὸν μὲν om. BPF, ἀποφαντικὸν μὲν habet Pal. 261. 8. 9 ὑπεραποφαντικόν bis P; τοῦτο ὑπὲρ τὸ ἀποφαντικὸν F. 9 ἀποφαντικὸν ἀποφαντικοῦ FP, sed ν bis expunxit P[1]. ‖ οὐκ om. BPF, suppl. Galesius. 10. 12. 13. 15. 16 συνεστὼς (vel ῶς) BPF. 14 οὗτος (pro Δίων) BPF. 17 καὶ κατηγορήματος addidi, ἐξ ἀορίστου μορίου ἢ ἐξ ἀορίστων μορίων F. 20 dedicativae = καταφατικαί, abdicativae = ἀποφατικαί. 36 εἰ del. Bek.

δέ ἐστι κατ' αὐτοὺς ἐν οἷς ἀόριστόν τι κυριεύει μόριον, οἷον „τὶς κάθηται", μέσα δὲ τὰ οὕτως ἔχοντα „ἄνθρωπος κάθηται" ἢ „Σωκράτης περιπατεῖ". τὸ μὲν οὖν „τὶς περιπατεῖ" ἀόριστόν ἐστιν, ἐπεὶ οὐκ ἀφώρικέ τινα τῶν ἐπὶ μέρους περιπατούντων· κοινῶς γὰρ ἐφ' ἑκάστου αὐτῶν ἐκφέρεσθαι δύναται· τὸ δὲ „οὗτος κάθηται" ὡρισμένον ἐστίν, ἐπείπερ ἀφώρικε τὸ δεικνύμενον πρόσωπον. τὸ δὲ „Σωκράτης κάθηται" μέσον ὑπῆρχεν, ἐπείπερ οὔτε ἀόριστόν ἐστιν, ἀφώρικε γὰρ τὸ εἶδος, οὔτε ὡρισμένον, οὐ γὰρ μετὰ δείξεως ἐκφέρεται, ἀλλ' ἔοικε μέσον ἀμφοτέρων ὑπάρχειν, τοῦ τε ἀορίστου καὶ τοῦ ὡρισμένου· *γίνεσθαι δέ φασι τὸ ἀόριστον ἀληθές — ὅταν τὸ ὡρισμένον ἀληθὲς εὑρίσκηται.* — —

100 καὶ δὴ *τὸ ὡρισμένον τοῦτο ἀξίωμα*, τὸ „οὗτος κάθηται" ἢ „οὗτος περιπατεῖ", τότε *φασὶν ἀληθὲς ὑπάρχειν* ὅταν τῷ ὑπὸ τὴν *δεῖξιν πίπτοντι συμβεβήκῃ τὸ κατηγόρημα*, οἷον τὸ καθῆσθαι ἢ τὸ περιπατεῖν.

**206** Alexander Aphrod. apud Simplicium in Aristot. phys. p. 1299, 36 Diels. ἐκ δὴ τούτων τῶν λόγων, φησὶν ὁ Ἀλέξανδρος, δυνατὸν ὁρμώμενον δεικνύναι τὰ *παρὰ τοῖς Στωϊκοῖς* ἀξιώματα, ἃ *μεταπίπτοντά* τινες λέγουσιν ἀπεριγράφως, μὴ ὄντα τοιαῦτα· ἔστι δὲ ταῦτα τοιαῦτα· „εἰ ζῇ Δίων, ζήσεται Δίων". τοῦτο γὰρ εἰ καὶ ἀληθές ἐστι νῦν, ἀρχόμενον ἀπὸ ἀληθοῦς τοῦ „ζῇ Δίων" καὶ λῆγον εἰς ἀληθὲς τὸ „ζήσεται", ἀλλ' ἔσται ποτέ, ὅτε τῆς προσλήψεως ἀληθοῦς οὔσης τῆς „ἀλλὰ μὴν ζῇ Δίων" μεταπεσεῖται τὸ συνημμένον εἰς ψεῦδος τῷ ἔσεσθαί ποτε, ὅτε ἀληθοῦς ὄντος ἔτι τοῦ „ζῇ Δίων" οὐκ ἔσται ἀληθὲς τὸ „καὶ ζήσεται", οὗ μὴ ὄντος ἀληθοῦς τὸ ὅλον συνημμένον γίνοιτο ἂν ψεῦδος μεταπῖπτον· οὐ γὰρ ἀεί, ὅτε τὸ „ζῇ" ἀληθές, καὶ τὸ „ζήσεται", ἐπεὶ οὕτως ἀθάνατος ἂν εἴη ὁ Δίων. οὐ μὴν ἔσται ὁρίσαντας εἰπεῖν, πότε οὐκ ἀληθὲς ἔσται ζῶντος αὐτοῦ τὸ „ζήσεται". διὸ καὶ *ἐν ἀπεριγράφῳ καὶ ἀορίστῳ χρόνῳ λέγουσι γίνεσθαι τὴν τῶν τοιούτων ἀξιωμάτων μετάπτωσιν.*

**206a** Dionysius Halicarn. de compos. verb. p. 31. Re. Ἔγωγ' οὖν ὅτε διέγνων συντάττεσθαι ταύτην τὴν ὑπόθεσιν, ἐζήτουν εἴ τι τοῖς πρότερον εἴρηται περὶ αὐτῆς, καὶ μάλιστα *τοῖς ἀπὸ τῆς Στοᾶς* φιλοσόφοις εἰδὼς τοὺς ἄνδρας οὐ μικρὰν φροντίδα τοῦ λεκτικοῦ τόπου πεποιημένους. δεῖ γὰρ αὐτοῖς τἀληθῆ μαρτυρεῖν. οὐδαμῇ δ' οὐδὲν ὑπ' οὐδενὸς εὑρὼν τῶν ὀνόματος ἠξιωμένων οὔτε μεῖζον οὔτ' ἔλαττον συναχθὲν εἰς ἣν ἐγὼ προήρημαι πραγματείαν, ἃς δὲ *Χρύσιππος* καταλέλοιπε συντάξεις διττάς, ἐπιγραφὴν ἐχούσας „*Περὶ τῆς συντάξεως* τῶν τοῦ *λόγου μερῶν*" οὐ ῥητορικὴν θεωρίαν ἐχούσας, ἀλλὰ διαλεκτικήν, ὡς ἴσασιν οἱ τὰς βίβλους ἀνεγνωκότες, ὑπὲρ *ἀξιωμάτων συντάξεως, ἀληθῶν τε καὶ ψευδῶν καὶ δυνατῶν καὶ ἀδυνάτων, ἐνδεχομένων τε καὶ μεταπιπτόντων καὶ ἀμφιβό-*

---

10 Joh. Sicel. ad Hermog. Walz. Rh. Gr. VI p. 201: ὁ δὲ τῶν Στωϊκῶν ὁ λέγων τὰ ἐναντία δέχεσθαι τὴν ἀπροσδιόριστον, ἀληθὲς καὶ ψεῦδος (griphus, qui sequitur, nihil ad Stoicos pertinet). 17 Libros περὶ τῶν μεταπιπτόντων λόγων πρὸς Ἀθηνάδην α′ et λόγοι μεταπίπτοντες πρὸς τὴν μεσότητα γ′ Chrysippi pseudepigraphos dicit index librorum. Cf. ἀξιωμάτων μεταπτώσεις n. 201.
40 μεταπίπτοντα ἀξιώματα tractantur n. 263, quem locum huc referre debebam.

λων καὶ ἄλλων τινῶν τοιουτοτρόπων, οὐδεμίαν οὔτε χρείαν οὔτ' ὠφέλειαν τοῖς πολιτικοῖς λόγοις συμβαλλομένων, εἰς γοῦν ἡδονὴν ἢ κάλλος ἑρμηνείας, ὧν δεῖ στοχάζεσθαι τὴν σύνθεσιν· ταύτης μὲν τῆς πραγματείας ἀπέστην.

## § 5. *Περὶ τῶν οὐχ ἁπλῶν ἀξιωμάτων.*

Huc pertinent ex libris Chrysippi:

*Περὶ τῶν οὐχ ἁπλῶν ἀξιωμάτων α'.*
*Περὶ τοῦ συμπεπλεγμένου πρὸς Ἀθηνάδην β'.*
*Περὶ ἀληθοῦς διεξευγμένου πρὸς Γοργιππίδην α'.*
*Περὶ ἀληθοῦς συνημμένου πρὸς Γοργιππίδην δ'.*
*Πρὸς τὸ περὶ ἀκολούθων α'.*

207 Diocles Magnes apud Diog. Laërt. VII 71. τῶν δ' οὐχ ἁπλῶν ἀξιωμάτων συνημμένον μέν ἐστιν, ὡς ὁ Χρύσιππος ἐν ταῖς διαλεκτικαῖς φησι καὶ Διογένης ἐν τῇ διαλεκτικῇ τέχνῃ, τὸ συνεστὸς διὰ τοῦ „εἰ" συναπτικοῦ συνδέσμου· ἐπαγγέλλεται δὲ ὁ σύνδεσμος οὗτος ἀκολουθεῖν τὸ δεύτερον τῷ πρώτῳ, οἷον „εἰ ἡμέρα ἐστί, φῶς ἐστι". (Deinde definitur τὸ παρασυνημμένον, ὡς ὁ Κρίνις φησίν ἐν τῇ διαλεκτικῇ τέχνῃ). 72. συμπεπλεγμένον δέ ἐστιν ἀξίωμα ὃ ὑπό τινων συμπλεκτικῶν συνδέσμων συμπέπλεκται, οἷον „καὶ ἡμέρα ἐστὶ καὶ φῶς ἐστι". διεξευγμένον δέ ἐστιν, ὃ ὑπὸ τοῦ „ἤτοι" διαζευκτικοῦ συνδέσμου διέζευκται, οἷον, „ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν". ἐπαγγέλλεται δὲ ὁ σύνδεσμος οὗτος τὸ ἕτερον τῶν ἀξιωμάτων ψεῦδος εἶναι. αἰτιῶδες δέ ἐστιν ἀξίωμα τὸ συντασσόμενον διὰ τοῦ „διότι", οἷον „διότι ἡμέρα ἐστί, φῶς ἐστίν". οἱονεὶ γὰρ αἴτιόν ἐστι τὸ πρῶτον τοῦ δευτέρου. διασαφοῦν δὲ τὸ μᾶλλον ἀξίωμά ἐστι τὸ συνταττόμενον ὑπὸ τοῦ διασαφοῦντος τὸ μᾶλλον συνδέσμου καὶ τοῦ ⟨„ἢ"⟩ μέσου τῶν ἀξιωμάτων τασσομένου, οἷον „μᾶλλον ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν". διασαφοῦν δὲ τὸ ἧττον ἀξίωμά ἐστι τὸ ἐναντίον τῷ προκειμένῳ, οἷον „ἧττον νύξ ἐστιν ἢ ἡμέρα ἐστίν".

208 Galenus introductio dialectica 4 p. 10,13 Kalbfl. εἰ δὲ ἐφ' ἑτέρων λέγοιτο ⟨ἡ⟩ φωνή, ⟨ἃ⟩ μήτε ἀκολουθίαν ἔχει πρὸς ἄλληλα μήτε μάχην ἀποφατικήν, συμπεπλεγμένον καλέσομεν τὸ τοιοῦτον ἀξίωμα, καθάπερ ἐπὶ τοῦ „Δίων περιπατεῖ καὶ Θέων διαλέγεται". ταυτὶ γὰρ οὔτε μάχην οὔτε ἀκολουθίαν ἔχοντα κατὰ συμπλοκὴν ἑρμη-

14 ὡς ὁ Χρ. φησὶν ἐν τῇ διαλεκτικῇ τέχνῃ (om. cet.) F. 15 συνεστὼς (vel. -ῶς) BPF. ‖ εἰ διὰ B. 21 ἢ F. 24 οἷον διότι et ἐστί om. B., add. B[2] in mg. 27 „ἢ" addidi, τοῦ om. BP. ‖ μέσου BPF. 32 ἡ addidi; ἡ φωνή scil. ὁ συμπλεκτικὸς σύνδεσμος. ‖ φωνὴ ἃ scripsi, φωνὴν libri; φωνῶν ἃ Kalbfl. 33 ἀποφατικὴν del. Kalbfl. 35 ἑρμηνεύεται Kalbfl., ἑρμηνεύει cod.

νεύεται. διὸ κἀπειδὰν ἀποφάσκωμεν αὐτά, τὸν λόγον ἐκεῖνον ἤτοι γε ἀποφατικὴν συμπλοκὴν ἢ ἀποφατικὸν εἶναι συμπεπλεγμένον φήσομεν· οὐδὲν γὰρ πρὸς τὸ παρὸν διαφέρει συμπεπλεγμένον λέγειν ἀποφατικὸν ἢ συμπλοκήν. — — ἀλλ' οἱ περὶ Χρύσιππον, κἀνταῦθα τῇ λέξει μᾶλλον ἢ τοῖς πράγμασι προσέχοντες τὸν νοῦν, ἅπαντα τὰ διὰ τῶν συμπλεκτικῶν καλουμένων συνδέσμων συνιστάμενα κἂν ἐκ μαχομένων ἢ ἀκολούθων, συμπεπλεγμένα καλοῦσιν, ἐν οἷς μὲν ἔγκειταί τις ἀκρίβεια διδασκαλίας, ἀμελῶς χρώμενοι τοῖς ὀνόμασιν, ἐν οἷς δὲ οὐδὲν διαφέρον αἱ φωναὶ σημαίνουσιν, αὐτοὶ νομοθετοῦντες ἴδια σημαινόμενα etc.

**209** Dexippus in Aristot. categ. p. 22, 18 Busse. φαμὲν δὴ ὅτι οἱ μόνην συμπλοκὴν τὴν μετὰ συμπλεκτικοῦ συνδέσμου προφορὰν λέγοντες τοῖς Στωϊκοῖς ἐπακολουθοῦσιν, ὧν ἀρχαιότερος Ἀριστοτέλης καὶ τῇ τῶν πρεσβυτέρων συνηθείᾳ χρώμενος, οἵτινες τὴν τῶν πλειόνων μερῶν τοῦ λόγου σύνοδον συμπλοκὴν ὠνόμαζον.

**210** Plutarchus de Stoic. repugn. cp. 29 p. 1047c. Ἀλλὰ μὴν αὐτὸς (sc. Chrysippus) τὰς διὰ δέκα ἀξιωμάτων συμπλοκὰς πλήθει φησὶν ὑπερβάλλειν ἑκατὸν μυριάδας, οὔτε δι' αὑτοῦ ζητήσας ἐπιμελῶς οὔτε διὰ τῶν ἐμπείρων τὸ ἀληθὲς ἱστορήσας etc. — — Χρύσιππον δὲ πάντες ἐλέγχουσιν οἱ ἀριθμητικοί. ὧν καὶ Ἵππαρχός ἐστιν, ἀποδεικνύων τὸ διάπτωμα τοῦ λογισμοῦ παμμέγεθες αὐτῷ γεγονός· εἴγε τὸ μὲν καταφατικὸν ποιεῖ συμπεπλεγμένων ἀξιωμάτων μυριάδας δέκα, καὶ πρὸς ταύταις τρισχίλια τεσσαράκοντα ἐννέα, τὸ δ' ἀποφατικὸν ἐννακόσια πεντήκοντα δύο πρὸς τριάκοντα καὶ μιᾷ μυριάσι.

Cf. Plut. Quaest. Conviv. VIII 9, ubi eadem fere verba recurrunt.

**211** Sextus adv. math. VIII 124. ἐνέσται δὲ ἀπὸ τούτων καὶ ἐπὶ τὰ συμπεπλεγμένα καὶ ἐπὶ τὰ διεζευγμένα κοινῶς τε ἐπὶ τὰ λοιπὰ εἴδη τῶν οὐχ ἁπλῶν ἀξιωμάτων διαβαίνειν. — ὅταν λέγωσιν ὑγιὲς εἶναι συμπεπλεγμένον τὸ πάντ' ἔχον ἐν αὑτῷ ἀληθῆ, οἷον τὸ „ἡμέρα ἐστὶ καὶ φῶς ἐστιν", ψεῦδος δὲ τὸ ἔχον ψεῦδος. Haec impugnat Sextus, deinde pergit 128. ἀλλ' ὥσπερ ἐν τῷ βίῳ, φασί, τὸ κατὰ μὲν τὰ πλεῖστα μέρη ὑγιὲς ἱμάτιον, κατ' ὀλίγον δὲ διεῤῥωγὸς οὐκ ἀπὸ τῶν πλείστων καὶ ὑγιῶν μερῶν ὑγιὲς εἶναι λέγομεν, ἀλλ' ἀπὸ τοῦ ὀλίγου καὶ διεῤῥωγότος διεῤῥωγός, οὕτω καὶ τὸ συμπεπλεγμένον, κἂν ἓν μόνον ἔχῃ ψεῦδος, πλείονα δὲ ἀληθῆ, λεχθήσεται τὸ ὅλον ἀπὸ τοῦ ἑνὸς ψεῦδος.

**212** Galenus de simplic. medicam. II 16. Vol. XI p. 499 K. τὴν ὑποθετικὴν πρότασιν, ἣν οἱ περὶ τὸν Χρύσιππον ἀξίωμα συνημμένον ὀνομάζουσιν.

**213** Gellius Noct. Att. XVI 8, 9. Sed quod Graeci συνημμένον ἀξίωμα dicunt — — id — tale est: „si Plato ambulat, Plato movetur", „si dies est, sol super terras est."

---

5 προσέχοντες Kalbfl., προσέχουσι cod. 9 χρωμένοις cod., corr. Kalbfl. 10 νομοθετοῦντες Kalbfl., μόνοι αἰτοῦνται cod. 27 τε ἐπὶ Bk. in adn., ἐπί τε libri.

Item quod illi *συμπεπλεγμένον*, nos vel „coniunctum“ vel „copulatum“ dicimus, quod est eiusdemmodi: „P. Scipio, Pauli filius, et bis consul fuit et triumphavit et censura functus est et collega in censura L. Mummi fuit“. In omni autem coniuncto si unum est mendacium, etiamsi cetera vera sunt, totum esse mendacium dicitur.

**214** Sextus adv. math. VIII 88. οὐ πάνυ δέ γε δύνανται παραστῆσαι τὸ ἀντικείμενον ἡμῖν οἱ Στωϊκοί. — φασὶ γάρ· „ἀντικείμενά ἐστιν ὧν τὸ ἕτερον τοῦ ἑτέρου ἀποφάσει πλεονάζει, οἷον· ἡμέρα ἐστίν — οὐχ ἡμέρα ἐστίν. τοῦ γὰρ ‘ἡμέρα ἐστίν’ ἀξιώματος τὸ ‘οὐχ ἡμέρα ἐστίν’ ἀποφάσει πλεονάζει τῇ ‘οὐχί’, καὶ διὰ τοῦτ’ ἀντικείμενόν ἐστιν ἐκείνῳ“. ἀλλ’ εἰ τοῦτ’ ἔστι τὸ ἀντικείμενον, ἔσται καὶ τὰ τοιαῦτα ἀντικείμενα τό τε ‘ἡμέρα ἐστίν ⟨καὶ φῶς ἐστίν’ καὶ τὸ ‘ἡμέρα ἐστίν⟩ καὶ οὐχὶ φῶς ἐστιν.’ τοῦ γὰρ „ἡμέρα ⟨ἐστίν καὶ φῶς⟩ ἐστιν“ ἀξιώματος ἀποφάσει πλεονάζει τὸ ⟨„ἡμέρα ἐστίν καὶ⟩ οὐχὶ φῶς ἐστιν“. οὐχὶ δέ γε κατ’ αὐτοὺς ταῦτα ἀντικείμενά ἐστιν· οὐκ ἄρα ἀντικείμενά ἐστιν ⟨ὧν⟩ τὸ ἕτερον τοῦ ἑτέρου ἀποφάσει πλεονάζει. ναί φασιν, ἀλλὰ σὺν τούτῳ ἀντικείμενά ἐστι, σὺν τῷ τὴν ἀπόφασιν προτετάχθαι τοῦ ἑτέρου· τότε γὰρ κυριεύει τοῦ ὅλου ἀξιώματος· ἐπὶ δὲ τοῦ „ἡμέρα ἐστὶν καὶ οὐχὶ φῶς ἐστίν“ μέρος οὖσα τοῦ παντός, οὐ κυριεύει πρὸς τὸ ἀποφατικὸν ποιῆσαι τὸ πᾶν.

**215** Diocles Magnes apud Diog. Laërt. VII 73. ἔτι τῶν ἀξιωμάτων κατά τε ἀλήθειαν καὶ ψεῦδος ἀντικείμενα ἀλλήλοις ἐστίν, ὧν τὸ ἕτερον τοῦ ἑτέρου ἐστὶν ἀποφατικόν, οἷον τὸ „ἡμέρα ἐστίν“ καὶ τὸ „οὐχὶ ἡμέρα ἐστίν“. συνημμένον οὖν ἀληθές ἐστιν, οὗ τὸ ἀντικείμενον τοῦ λήγοντος μάχεται τῷ ἡγουμένῳ, οἷον „εἰ ἡμέρα ἐστί, φῶς ἐστι“. τοῦτο ἀληθές ἐστι· τὸ γὰρ „οὐχὶ φῶς ⟨ἐστι⟩“, ἀντικείμενον τῷ λήγοντι, μάχεται τῷ „ἡμέρα ἐστί“. συνημμένον δὲ ψεῦδός ἐστιν οὗ τὸ ἀντικείμενον τοῦ λήγοντος οὐ μάχεται τῷ ἡγουμένῳ, οἷον „εἰ ἡμέρα ἐστί, Δίων περιπατεῖ“. τὸ γὰρ „οὐχὶ Δίων περιπατεῖ“ οὐ μάχεται τῷ „ἡμέρα ἐστί“. (sequitur *παρασυνημμένον*, quod inter Crinidis fragmenta posui.) αἰτιῶδες δὲ ἀληθὲς μέν ἐστιν, ὃ ἀρχόμενον ἀπὸ ἀληθοῦς εἰς ἀκόλουθον λήγει, οὐ μὴν ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀκόλουθον, οἷον „διότι ἡμέρα ἐστί, φῶς ἐστι“. τῷ μὲν γὰρ „ἡμέρα ἐστίν“ ἀκολουθεῖ τὸ „φῶς ἐστι“, τῷ δὲ „φῶς ἐστιν“ οὐχ ἕπεται τὸ „ἡμέρα ἐστίν“. αἰτιῶδες δὲ ψεῦδός ἐστιν ὃ ἤτοι ἀπὸ ψεύδους ἄρχεται ἢ μὴ εἰς ἀκόλουθον λήγει ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀκόλουθον, οἷον „διότι νύξ ἐστι, Δίων περιπατεῖ“.

**216** Sextus adv. math. VIII 108. καὶ δὴ οὐχ ἁπλᾶ μέν ἐστιν ἀξιώματα — ἅπερ ἐξ ἀξιώματος διαφορουμένου ἢ ἀξιωμάτων διαφερόντων συνέστηκε καὶ ἐν οἷς σύνδεσμος ἢ σύνδεσμοι ἐπικρατοῦσιν· λαμβανέσθω δὲ ἐκ τούτων ἐπὶ τοῦ παρόντος τὸ καλούμενον συνημμένον. τοῦτο τοίνυν συνέστηκεν ἐξ ἀξιώματος διαφορουμένου ἢ ἐξ ἀξιωμάτων διαφερόντων διὰ τοῦ „εἰ“ ἢ „εἴπερ“ συνδέσμου· οἷον ἐκ διαφορουμένου μὲν ἀξιώματος καὶ τοῦ „εἰ“ συνδέσμου συνέστηκε τὸ τοιοῦτον συνημμένον „εἰ ἡμέρα ἐστίν, ἡμέρα

---

12. 13. 14. 15 addidi quae sententia flagitat. 16 *πλεονάζει* scripsi, *πλεονάζειν* libri. 22 *ἀποφαντικόν* PF. ‖ *ἡμέρα οὐχί* (hoc ord.) B, *οὐχ ἡμέρα* F. 24 *οὐ μάχεται* F. 30 *ἂν ἑπόμενον* (pro *ὃ ἀρχόμενον*) B. ‖ *ἀληθῶν* B. 31 *ἑπόμενον* (pro *ἀρχόμενον*) B; *ἀκόλουθον τὸ ἀρχόμενον* (hoc ord.) F. ‖ *τὸ* pro *τῷ* B. 32 *τῶ* B[2] ‖ *τὸ* F. 34 *ἀνακόλουθον* BPF, corr. Rossius ex Suida s. *αἰτιῶδες ψεῦδος*.

ἐστίν". ἐκ διαφερόντων δὲ ἀξιωμάτων καὶ διὰ τοῦ „εἴπερ" συνδέσμου τὸ οὕτως ἔχον „εἴπερ ἡμέρα ἐστί, φῶς ἐστιν". τῶν δὲ ἐν τῷ συνημμένῳ ἀξιωμάτων τὸ μετὰ τὸν „εἰ" ἢ τὸν „εἴπερ" σύνδεσμον τεταγμένον ἡγούμενόν τε καὶ πρῶτον καλεῖται, τὸ δὲ λοιπὸν λῆγόν τε καὶ δεύτερον, καὶ ἐὰν ἀναστρόφως ἐκφέρηται τὸ ὅλον συνημμένον, οἷον οὕτως „φῶς ἐστιν, εἴπερ ἡμέρα ἐστίν"· καὶ γὰρ ἐν τούτῳ λῆγον μὲν καλεῖται τὸ „φῶς ἐστιν" καίπερ πρῶτον ἐξενεχθέν, ἡγούμενον δὲ τὸ „ἡμέρα ἐστίν", καίπερ δεύτερον λεγόμενον, διὰ τὸ μετὰ τὸν „εἴπερ" σύνδεσμον τετάχθαι. ἡ μὲν οὖν σύστασις τοῦ συνημμένου, ὡς ἐν συντόμῳ εἰπεῖν, ἐστὶ τοιαύτη, ἐπαγγέλλεσθαι δὲ δοκεῖ τὸ τοιοῦτον ἀξίωμα ἀκολουθεῖν τῷ ἐν αὐτῷ πρώτῳ τὸ ἐν αὐτῷ δεύτερον, καὶ ὄντος τοῦ ἡγουμένου ἔσεσθαι τὸ λῆγον. ὅθεν σῳζομένης μὲν τῆς τοιαύτης ἐπαγγελίας καὶ ἀκολουθοῦντος τῷ ἡγουμένῳ τοῦ λήγοντος ἀληθὲς γίνεται καὶ τὸ συνημμένον, μὴ σῳζομένης δὲ ψεῦδος.

**217** Galenus introductio dialectica cp. 3 p. 8, 11 Kalbfl. ἐπειδὰν διότι μή ἐστι τόδε, εἶναι τόδε νοῶμεν, οἷον ⟨ὅτι⟩ νὺξ οὐκ ἔστιν, ἡμέραν εἶναι — — διεζευγμένον ἀξίωμά τισι τῶν νεωτέρων φιλοσόφων (scil. Stoicis) ὀνομάζεται, καθάπερ γε καὶ συνημμένον τὸ ἕτερον εἶδος τῶν προτάσεων τῶν ὑποθετικῶν ἃς κατὰ συνέχειαν ἐλέγομεν γίγνεσθαι (cf. supra: ἐπειδὰν ὑπάρχον τι πιστεύηται δι' ἕτερον ὑπάρχειν ἢ κατὰ συνέχειαν), οἰκειοτέρα δέ ἐστι λέξις τὸ [τὰ] „διεζευγμένον" τοῖς ἀξιώμασιν (ἃς δηλονότι διαιρετικὰς προτάσεις ἔφαμεν ὀνομάζεσθαι) ⟨τοῖς⟩ διὰ τοῦ „ἤτοι" συνδέσμου (διαφέρει δὲ οὐδὲν „ἢ" διὰ μιᾶς συλλαβῆς λέγειν ἢ διὰ δυοῖν „ἤτοι")· „συνημμένον" δὲ ⟨τοῖς⟩ διὰ τοῦ „εἰ" ⟨ἢ „ἐπεὶ"⟩, εἴπερ ἓν καὶ οὗτοι σημαίνουσιν· ὡς ὀνομάζεσθαι τὸν μὲν τοιοῦτον λόγον „εἰ ἡμέρα ἐστίν, ὁ ἥλιος ὑπὲρ γῆς ἐστιν" συνημμένον ἀξίωμα κατά γε τοὺς νεωτέρους φιλοσόφους. — — τοὺς δέ γε τοιούτους „ἤτοι γ' ἡμέρα ἐστὶν ἢ νύξ ἐστι" διεζευγμένον μὲν ἀξίωμα παρὰ τοῖς νεωτέροις φιλοσόφοις etc.

ibid. 14 p. 32, 13 Kalbfl. καλοῦσι δὲ τὰς μὲν κατὰ συνέχειαν (scil. προτάσεις) οἱ Στωϊκοὶ συνημμένα ἀξιώματα, τὰς δὲ κατὰ διαίρεσιν διεζευγμένα, καὶ συμφωνεῖταί γε αὐτοῖς δύο μὲν γίγνεσθαι συλλογισμοὺς κατὰ τὸ συνημμένον ἀξίωμα, δύο δὲ κατὰ τὸ διεζευγμένον. — — τρίτον οὖν ἀναπόδεικτον τῶν περὶ τὸν Χρύσιππον ἡγουμένων ἐξ ἀποφατικοῦ συμπεπλεγμένου καὶ θατέρου τῶν ἐν αὐτῷ τὸ ἀντικείμενον τοῦ λοιποῦ περαίνοντα etc.

Epimerismi Homer. Cramer. Anecd. Ox. I p. 188. ὁ „ἢ" σύνδεσμος ψιλούμενος καὶ ὀξυνόμενος σημαίνει τρία· ἢ διαζευκτικός ἐστιν ἢ ὑποδιαζευκτικὸς ἢ διασαφητικός — — τί διαφέρουσιν ἀλλήλων; ὅτι ὁ μὲν διαζευκτικὸς τὸ ἕτερον μόνον τῶν ὑποκειμένων αἱρεῖται, τὸ δὲ ἕτερον ἀναιρεῖ· „ἢ ἡμέρα ἐστὶν ἢ νύξ" (τὸ ἕτερον μόνον· οὐ γὰρ δύναται ἀμφότερα) — — ὁ δὲ παραδιαζευκτικὸς καὶ ἀμφότερα δύναται παραλαμβάνειν, ἐπειδὰν οὕτω λέγωμεν „ἐρέσσων ἢ ἐπισπᾶται τὴν κώπην ἢ ἀπωθεῖται" (ἀμφότερα γὰρ

---

16 ὅτι add. Prantl. 18 τῆς προτάσεως cod., corr. Kalbfl. 21 τὸ διεζευγμένον Kalbfl., τὸ τὰ διεζευμένα cod. 22. 24 τοῖς addidi. 23 ἤτοι· συνημμένον scripsi, τοῖς συνημμένοις cod. 24 ἢ ἐπεὶ add. Prantl. 34 συμπεπλεγμένου Kalbfl., συμπεράσματος cod ‖ καὶ θατέρου Kalbfl., καθ' ἑτέρου cod.

ποιεῖ) — — ἔστι δὲ καὶ διασαφητικός, ὁ ἐλεγκτικὸς καλούμενος παρὰ τοῖς Στωϊκοῖς, οὕτως λύσεις „βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι". ἔστι γὰρ ἤπερ ἀπολέσθαι. ἐν ἤθει δὲ λέγεται ὑπὸ τοῦ Ἀγαμέμνονος.

**218** Gellius Noct. Att. XVI 8, 12. Est item aliud, quod Graeci διεζευγμένον ἀξίωμα, nos „disiunctum" dicimus. Id huiuscemodi est: „aut malum est voluptas aut bonum aut neque bonum neque malum est". Omnia autem, quae disiunguntur, pugnantia esse inter sese oportet, eorumque opposita, quae ἀντικείμενα Graeci dicunt, ea quoque ipsa inter se adversa esse. Ex omnibus, quae disiunguntur, unum esse verum debet, falsa cetera. Quod si aut nihil omnium verum, aut omnia plurave quam unum vera erunt, aut quae disiuncta sunt non pugnabunt, aut quae opposita eorum sunt contraria inter sese non erunt, tunc id disiunctum mendacium est et appellatur παραδιεζευγμένον; sicuti hoc est, in quo quae opposita non sunt contraria: „aut curris aut ambulas aut stas". — — possis enim simul eodemque tempore neque ambulare neque stare neque currere.

**219** Cicero Acad. Pr. II 97. cum ab Epicuro — non impetrent, ut verum esse concedat, quod ita effabimur: „aut vivet cras Hermarchus aut non vivet", cum dialectici sic statuant, omne quod ita disiunctum sit, quasi 'aut etiam aut non' non modo verum esse, sed etiam necessarium. (paulo post:) dialectici — id est Antiochus et Stoici.

**220** Galenus introductio dialectica 5 p. 12, 3 Kalbfl. ⟨ἐν⟩ ἐνίοις δ' ἀξιώμασιν ἐγχωρεῖ μὲν εἶναι καὶ πλείω καὶ πάντα, μὴ μόνον ἕν, ἀναγκαῖον δ' ἐστὶ τὸ ἓν ὑπάρχειν· ὀνομάζουσι δ' ἔνιοι τὰ τοιαῦτα „παραδιεζευγμένα", τῶν διεζευγμένων ἓν μόνον ἐχόντων ἀληθές, ἄν τ' ἐκ δυοῖν ἀξιωμάτων ἁπλῶν ἄν τ' ἐκ πλειόνων συγκέηται.

## § 6. *Περὶ σημείου.*

**221** Sextus adv. math. VIII 244. βραχέα δ' ἴσως δεήσει καὶ περὶ τοῦ ἀρέσκοντος αὐτοῖς προλαβεῖν, καθ' ὃ ἀξίωμα θέλουσιν εἶναι τὸ σημεῖον, καὶ διὰ τοῦτο νοητόν. ὑπογράφοντες τοίνυν φασὶ σημεῖον εἶναι ἀξίωμα ἐν ὑγιεῖ συνημμένῳ καθηγούμενον, ἐκκαλυπτικὸν τοῦ λήγοντος. κρίσεις δὲ τοῦ ὑγιοῦς συνημμένου πολλὰς μὲν καὶ ἄλλας εἶναί φασιν, μίαν δ' ἐξ ἁπασῶν ὑπάρχειν — — τὴν ἀποδοθησομένην. πᾶν γὰρ συνημμένον ἢ ἀπὸ ἀληθοῦς ἀρχόμενον εἰς ἀληθὲς λήγει, ἢ ἀπὸ ψεύδους ἀρχόμενον ἐπὶ ψεῦδος λήγει, ἢ ἀπ' ἀληθοῦς ἐπὶ ψεῦδος, ἢ ἀπὸ ψεύδους ἐπ' ἀληθές. ἀπὸ μὲν οὖν ἀληθοῦς ἀρχόμενον ἐπ' ἀληθὲς λήγει τὸ „⟨εἰ⟩ εἰσὶ θεοί, προνοίᾳ θεῶν διοικεῖται ὁ κόσμος", ἀπὸ ψεύδους δὲ ἐπὶ ψεῦδος τὸ „εἰ πέταται ἡ γῆ, πτέρυγας ἔχει ἡ γῆ", ἀπὸ ψεύδους δὲ ἐπ' ἀληθὲς τό „εἰ πέταται ἡ γῆ, ἔστιν ἡ γῆ", ἀπὸ δὲ ἀληθοῦς ἐπὶ ψεῦδος τὸ „εἰ κινεῖται οὗτος, περιπατεῖ οὗτος" μὴ περιπατοῦντος μὲν αὐτοῦ, κινουμένου δέ. τεσσάρων οὖν οὐσῶν τοῦ συνημμένου συζυγιῶν, — — κατὰ μὲν τοὺς πρώτους τρεῖς τρόπους φασὶν ἀληθὲς τοῦτο γίνεσθαι — καθ' ἕνα δὲ μόνον γίνε-

---

22 ἐν ἐνίοις Kalbfl., ἔνιοι cod. 24 ἓν ὑπάρχειν Kalbfl., ἐνυπάρχειν cod. || ἔνιοι scil. Stoici, qui etiam παρασυνημμένον excogitaverunt. Cf. Gellius N. A. XVI, 8. 36 εἰ add. Bk.

σθαι ψεῦδος, ὅταν ἀπ' ἀληθοῦς ἀρχόμενον λήγῃ ἐπὶ ψεῦδος. τούτων δὲ οὕτως ἐχόντων ἀναζητητέον, φασί, τὸ σημεῖον οὐκ ἐν τῷ μοχθηρῷ τούτῳ συνημμένῳ ἀλλ' ἐν τῷ ὑγιεῖ· εἴρηται γὰρ ἀξίωμα τὸ ἐν ὑγιεῖ συνημμένῳ καθηγούμενον. ἀλλ' ἐπεὶ οὐχ ἓν ἦν ὑγιὲς συνημμένον, τρία δέ, καθάπερ τὸ ἀπ' ἀληθοῦς ἀρχόμενον καὶ ἐπ' ἀληθὲς λῆγον καὶ τὸ ἀπὸ ψεύδους ἐπὶ ψεῦδος καὶ τὸ ἀπὸ ψεύδους ἐπ' ἀληθές, σκεπτέον πότερόν ποτε ἐν πᾶσι ζητητέον τοῖς ὑγιέσι συνημμένοις τὸ σημεῖον ἢ ἐν τισὶν ἢ ἐν τινί. οὐκοῦν εἰ τὸ σημεῖον ἀληθὲς εἶναι δεῖ καὶ ἀληθοῦς παραστατικόν, οὔτε ἐν τῷ ἀπὸ ψεύδους ἀρχομένῳ καὶ ἐπὶ ψεῦδος λήγοντι οὔτε ἐν τῷ ἀπὸ ψεύδους ἐπ' ἀληθὲς ὑποκείσεται. λείπεται οὖν ⟨ἐν⟩ ἐκείνῳ μόνον αὐτὸ τυγχάνειν τῷ ἀπὸ τοῦ ἀληθοῦς τε ἀρχομένῳ καὶ ἐπ' ἀληθὲς λήγοντι, ὡς ἂν καὶ αὐτοῦ ὑπάρχοντος καὶ τοῦ σημειωτοῦ συνυπάρχειν ὀφείλοντος αὐτῷ. τοίνυν ὅταν λέγηται τὸ σημεῖον ἀξίωμα εἶναι ἐν ὑγιεῖ συνημμένῳ καθηγούμενον, δεήσει ἐν μόνῳ ἀκούειν αὐτὸ καθηγούμενον συνημμένῳ τῷ ἀπ' ἀληθοῦς τε ἀρχομένῳ καὶ ἐπ' ἀληθὲς λήγοντι. — καὶ μὴν οὐκ εἴ τι ἡγεῖται ἀξίωμα ἐν ὑγιεῖ συνημμένῳ ἀπ' ἀληθοῦς τε ἀρχομένῳ καὶ ἐπ' ἀληθὲς λήγοντι, τοῦτό ἐστι σημεῖον· (sequitur exemplum) δεῖ ἄρα τὸ σημεῖον — — καὶ ἐκκαλυπτικὴν ἔχειν φύσιν τοῦ λήγοντος, οἷόν ἐστι τὸ ἐν τοῖς τοιούτοις συνημμένοις „εἰ γάλα ἔχει ἐν μαστοῖς ἥδε, κεκύηκεν ἥδε" καὶ „εἰ βρογχεῖον ἔπτυκεν οὗτος, ἕλκος ἔχει ἐν πνεύμονι οὗτος". τουτὶ γὰρ τὸ συνημμένον ὑγιές ἐστιν, ἀρχόμενον μὲν ἀπ' ἀληθοῦς — — λῆγον δ' ἐπ' ἀληθές — — μετὰ τοῦ ἐκκαλυπτικὸν εἶναι τὸ πρῶτον τοῦ δευτέρου· ἐκείνῳ γὰρ προσβάλλοντες κατάληψιν τούτου ποιούμεθα.

Ἔτι, φασί, τὸ σημεῖον παρὸν παρόντος εἶναι δεῖ σημεῖον. ἔνιοι γὰρ ἐξαπατώμενοι καὶ παρὸν παρῳχημένου θέλουσιν εἶναι σημεῖον, ὡς ἐπὶ τοῦ „εἰ οὐλὴν ἔχει οὗτος, ἕλκος ἔσχηκεν οὗτος". εἰ μὲν γὰρ οὐλὴν ἔχει, παρόν ἐστι, φαίνεται γάρ, τὸ δὲ ἕλκος ἐσχηκέναι παρῳχημένον, οὐκέτι γάρ ἐστιν ἕλκος· καὶ παρὸν μέλλοντος, ὡς τὸ περιεχόμενον τῷ τοιούτῳ συνημμένῳ „εἰ καρδίαν τέτρωται οὗτος, ἀποθανεῖται οὗτος". τὸ μὲν γὰρ τραῦμα τῆς καρδίας εἶναί φασιν ἤδη, τὸν δὲ θάνατον μέλλειν· ἀγνοοῦσι δὴ οἱ τὰ τοιαῦτα λέγοντες ὅτι ἄλλ' ἐστι τὰ παρῳχημένα καὶ τὰ μέλλοντα, τὸ μέντοι σημεῖον καὶ τὸ σημειωτὸν κἀν τούτοις παρὸν παρόντος ἐστίν. ἔν τε γὰρ τῷ προτέρῳ — τὸ μὲν ἕλκος γέγονεν ἤδη καὶ παρῴχηκεν, τὸ δὲ ἕλκος ἐσχηκέναι τοῦτον ἀξίωμα καθεστηκὸς ἐνέστηκεν, περὶ γεγονότος τινὸς λεγόμενον· ἔν τε τῷ „εἰ καρδίαν τέτρωται οὗτος, ἀποθανεῖται οὗτος", ὁ μὲν θάνατος μέλλει, τὸ δὲ ἀποθανεῖσθαι τοῦτον ἀξίωμα ἐνέστηκεν, περὶ μέλλοντος λεγόμενον, παρὸ καὶ νῦν ἐστιν ἀληθές. ὥστε καὶ ἀξίωμά ἐστι τὸ σημεῖον, καὶ ἐν ὑγιεῖ συνημμένῳ καθηγεῖται, τῷ ἀρχομένῳ ἀπὸ ἀληθοῦς καὶ λήγοντι ἐπ' ἀληθές, ἐκκαλυπτικόν τέ ἐστι τοῦ λήγοντος, καὶ διὰ παντὸς παρὸν παρόντος ἐστὶ σημεῖον.

Τούτων δ' ὑποδεδειγμένων κατὰ τὰς αὐτῶν ἐκείνων τεχνολογίας etc.

222 Sextus adv. math. VIII 177. τῶν μὲν αἰσθητὸν ὑπολαμβανόντων τοῦτο (scil. τὸ σημεῖον) εἶναι, τῶν δὲ νοητόν. Ἐπίκουρος μὲν γὰρ καὶ οἱ προεστῶτες αὐτοῦ τῆς αἱρέσεως ἔλεξαν αἰσθητὸν εἶναι τὸ σημεῖον, οἱ δὲ ἀπὸ τῆς Στοᾶς νοητόν.

---

10 ἐν add. Bk. 16. 17 ἀρχόμενον et λῆγον libri, ipse correxi. 41 Cf. Sextus adv. math. VIII 112—117, ubi Philoni eadem sententia περὶ ἀληθοῦς συνημμένου tribuitur, quae hic ex Stoico adumbratur compendio.

**223** Sextus adv. math. VIII 275. *οἱ δὲ δογματικοὶ* πρὸς ἕκαστον μὲν τῶν οὕτως ἐπικεχειρημένων (argumenta scil. quibus sceptici probabant nullum esse σημεῖον) πεφίμωνται, τοὐναντίον δὲ κατασκευάζοντές φασιν ὅτι ἄνθρωπος οὐχὶ τῷ προφορικῷ λόγῳ διαφέρει τῶν ἀλόγων ζῴων (καὶ γὰρ *κόρακες καὶ ψιττακοὶ καὶ κίτται ἐνάρθρους προφέρονται φωνάς*) ἀλλὰ τῷ ἐνδιαθέτῳ, οὐδὲ τῇ ἁπλῇ μόνον φαντασίᾳ (ἐφαντασιοῦτο γὰρ κἀκεῖνα) ἀλλὰ τῇ μεταβατικῇ καὶ συνθετικῇ. διόπερ *ἀκολουθίας ἔννοιαν ἔχων εὐθὺς καὶ σημείου νόησιν λαμβάνει* διὰ τὴν ἀκολουθίαν· καὶ γὰρ αὐτὸ τὸ σημεῖόν ἐστι τοιοῦτον „εἰ τόδε, τόδε". ἕπεται ἄρα τῇ φύσει καὶ κατασκευῇ τἀνθρώπου τὸ καὶ σημεῖον ὑπάρχειν. — *συνωμολόγηταί τε ἡ ἀπόδειξις τῷ γένει σημεῖον εἶναι.* δηλωτικὴ γάρ ἐστι τοῦ συμπεράσματος, καὶ ἔσται ἡ διὰ τῶν λημμάτων αὐτῆς συμπλοκὴ σημεῖον τοῦ ὑπάρχειν τὸ συμπέρασμα. οἷον ἐπὶ τῆς τοιαύτης „εἰ ἔστι κίνησις, ἔστι κενόν· ἔστι δὲ κίνησις· ἔστιν ἄρα κενόν" τὸ τοιοῦτον συμπεπλεγμένον „εἰ ἔστι κίνησις, ἔστι κενόν ⟨καὶ ἔστι κίνησις⟩", διὰ τῶν λημμάτων συμπεπλεγμένον, εὐθὺς καὶ σημεῖόν ἐστι τοῦ συμπεράσματος τοῦ „ἔστι κενόν". ἤτοι οὖν ἀποδεικτικοί εἰσι λόγοι, φασίν, οἱ κατὰ τοῦ σημείου κομισθέντες ὑπὸ τῶν ἀπορητικῶν ἢ οὐκ ἀποδεικτικοί. καὶ εἰ μὲν οὐκ εἰσιν ἀποδεικτικοί, ἄπιστοι καθεστᾶσιν, ὅπου γε καὶ ἀποδεικτικοὶ τυγχάνοντες μόλις ἂν ἐπιστεύθησαν· εἰ δὲ ἀποδεικτικοί, δῆλον ὅτι ἔστι τι σημεῖον· ἡ γὰρ ἀπόδειξις σημεῖον ἦν κατὰ τὸ γένος. — εἴπερ δὲ οὐδὲν οὐδενός ἐστι σημεῖον, ἤτοι σημαίνουσί τι αἱ κατὰ τοῦ σημείου ἐκφερόμεναι φωναὶ ἢ οὐδὲν σημαίνουσιν. καὶ εἰ μὲν οὐδέν, οὐδὲ τὴν τοῦ σημείου ὕπαρξιν ἀνελοῦσιν· πῶς γὰρ οἷόν τε τὰς μηδὲν σημαινούσας πιστεύεσθαι περὶ τοῦ μηδὲν εἶναι σημεῖον; εἰ δὲ σημαίνουσι, μάταιοι καθεστᾶσιν οἱ ἀπὸ τῆς σκέψεως, λόγῳ μὲν ἐκβάλλοντες τὸ σημεῖον, ἔργῳ δὲ τοῦτο παραλαμβάνοντες. — καὶ μὴν εἰ μηδέν ἐστι θεώρημα τέχνης ἴδιον, οὐ διοίσει τῆς ἀτεχνίας ἡ τέχνη· εἰ δ' ἔστι θεώρημα τέχνης ἴδιον, ἤτοι φαινόμενόν ἐστιν ἢ ἄδηλον· ἀλλὰ φαινόμενον μὲν οὐκ ἂν εἴη· τὰ γὰρ φαινόμενα πᾶσιν ὁμοίως καὶ ἀδιδάκτως φαίνεται. εἰ δὲ ἄδηλον τυγχάνει, διὰ σημείου θεωρηθήσεται. εἰ δὲ ἔστι τι διὰ σημείου θεωρούμενον, ἔσται τι καὶ σημεῖον. Τινὲς δὲ καὶ οὕτω συνερωτῶσιν „εἰ ἔστι τι σημεῖον, ἔστι σημεῖον· εἰ μὴ ἔστι σημεῖον, ἔστι σημεῖον. ἤτοι δ' οὐδέν ἐστι σημεῖον ἢ ἔστιν· ἔστιν ἄρα". (cetera § 281—284 non opus est exscribere).

## § 7. *Περὶ ὅρου.*

**224** Sextus adv. math. XI 8. *τὸν γὰρ ὅρον φασὶν οἱ τεχνογράφοι ψιλῇ τῇ συντάξει διαφέρειν τοῦ καθολικοῦ, δυνάμει τὸν αὐτὸν ὄντα.* καὶ εἰκότως· ὁ γὰρ εἰπὼν „ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητόν" τῷ εἰπόντι „εἴ τί ἐστιν ἄνθρωπος, ἐκεῖνο ζῷόν ἐστι λογικὸν θνητόν" τῇ μὲν δυνάμει τὸ αὐτὸ λέγει, τῇ δὲ φωνῇ διάφορον. καὶ ὅτι τοῦτο, συμφανὲς *ἐκ τοῦ μὴ μόνον τὸ καθολικὸν τῶν ἐπὶ μέρους εἶναι περιληπτικόν, ἀλλὰ καὶ τὸν ὅρον ἐπὶ πάντα τὰ εἴδη τοῦ ἀπο-*

---

10 συνωμολόγηται scripsi (cf. ibid. 289), ἀνωμολόγηται libri. ‖ τε Bk., δὲ libri. 15 καὶ ἔστι κίνησις addidi. Ad hanc disputationem cf. n. 115—19.

διδομένου πράγματος διήκειν, οἷον τὸν μὲν τοῦ ἀνθρώπου ἐπὶ πάντας τοὺς κατ᾽ εἶδος ἀνθρώπους, τὸν δὲ τοῦ ἵππου ἐπὶ πάντας τοὺς ἵππους. ἑνός τε ὑποταχθέντος ψεύδους ἑκάτερον γίνεται μοχθηρόν, τό τε καθολικὸν καὶ ὁ ὅρος. ἀλλὰ γὰρ ὡς ταῦτα φωναῖς ἐξηλλαγμένα κατὰ δύναμίν ἐστι τὰ αὐτά, ὧδε καὶ ἡ τέλειος, φασί, διαίρεσις, δύναμιν ἔχουσα καθολικήν, συντάξει τοῦ καθολικοῦ διενήνοχεν. ὁ γὰρ τρόπῳ τῷδε διαιρούμενος „τῶν ἀνθρώπων οἱ μέν εἰσιν Ἕλληνες οἱ δὲ βάρβαροι" ἴσον τι λέγει τῷ „εἴ τινές εἰσιν ἄνθρωποι, ἐκεῖνοι ἢ Ἕλληνές εἰσιν ἢ βάρβαροι". ἐὰν γάρ τις ἄνθρωπος εὑρίσκηται μήτε Ἕλλην μήτε βάρβαρος, ἀνάγκη μοχθηρὰν μὲν εἶναι τὴν διαίρεσιν, ψεῦδος δὲ γίνεσθαι τὸ καθολικόν. διόπερ καὶ τὸ οὕτω λεγόμενον „τῶν ὄντων τὰ μέν ἐστιν ἀγαθά, τὰ δὲ κακά, τὰ δέ τούτων μεταξύ" δυνάμει κατὰ τὸν Χρύσιππον τοιοῦτόν ἐστι καθολικόν „εἴ τινά ἐστιν ὄντα, ἐκεῖνα ἤτοι ἀγαθά ἐστιν ἢ κακά ἐστιν ἢ ἀδιάφορα".

**225** Simplicius in Arist. categ. f. 16 B. ed. Bas. καὶ τοῦ μὲν ὀνόματος τὸ συνῃρημένον ἤ, ὡς οἱ Στωϊκοί φασι, τὸ κεφαλαιῶδες δηλοῦντος, τοῦ δὲ ὁρισμοῦ τὸ διακεκριμένον etc.

**226** Scholia Vaticana in Dionys. Thrac. p. 107, 5 Hilgard (Gram. Gr. III). ὁ δὲ Χρύσιππος λέγει ὅτι ὅρος ἐστὶν ἡ τοῦ ἰδίου ἀπόδοσις, τουτέστιν ὁ τὸ ἴδιον ἀποδιδούς. ὁ δὲ Ἀντίπατρος ὁ Στωϊκὸς λέγει· ὅρος ἐστὶ λόγος κατ᾽ ἀνάγκην ἐκφερόμενος, τουτέστι κατ᾽ ἀντιστροφήν· καὶ γὰρ ὁ ὅρος ἀντιστρέφειν θέλει.

Diog. Laërt. VII 60. ὅρος δέ ἐστιν, ὥς φησιν Ἀντίπατρος ἐν τῷ πρώτῳ περὶ ὅρων λόγος κατ᾽ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος ἢ ὡς Χρύσιππος ἐν τῷ περὶ ὅρων ἰδίου ἀπόδοσις.

**227** Galenus defin. medicae 1. Vol. XIX p. 349 K. ὅρος ἐστὶ λόγος κατ᾽ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος.

Ibid. ὑπογραφή ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὴν δηλουμένην τοῦ πράγματος γνῶσιν.

**228** Alexander in Aristot. Top. p. 24 Ald. p. 42, 20. οὐκ ἄρα αὔταρκες τὸ ἦν (scil. ἐν τῷ τί ἦν εἶναι), ὥς τινες ἡγοῦνται, ὧν δοκεῖ πρῶτος μὲν Ἀντισθένης εἶναι, εἶτα δὲ καὶ τῶν ἀπὸ τῆς Στοᾶς τινές, ἀλλὰ εὐλόγως τὸ εἶναι πρόσκειται.

Idem paulo post: οἱ δὲ λέγοντες ὅρον εἶναι λόγον κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενον (ἀνάλυσιν μὲν λέγοντες τὴν ἐξάπλωσιν τοῦ ὁριστοῦ καὶ κεφαλαιωδῶς, ἀπαρτιζόντως δὲ τὸ μήτε ὑπερβάλλειν μήτε ἐνδεῖν) οὐδὲν ἂν λέγοιεν τὸν ὅρον διαφέρειν τῆς τοῦ ἰδίου ἀποδόσεως etc.

**229** Galenus de differentia pulsuum IV 2. Vol. VIII p. 708 K. ἀρξώμεθ᾽ οὖν αὖθις ἀπὸ τῶν ἐννοηματικῶν ὅρων, οὓς οὐδὲν ἔφαμεν ἑρ-

---

5 ὧδε Bk., ὡς δὲ libri. 21 immo κατ᾽ ἀνάλυσιν cf. locum Laërtii. 24 ἀπαρτιζόντος B. 25 Hic liber in indice n. 13 r vocatur ὅρων διαλεκτικῶν πρὸς Μητρόδωρον ζ΄. ‖ ἰδίου restitui ex schol. Dion. Thr., ἢ P ἡ B ἢ ὡς—ἀπόδοσις om. F. 27 Antipatro tribuit Diog. La. VII 60. 29 cf. Diog. La. VII 60. fortasse: εἰς τὴν τοῦ δηλ. πράγματος γνῶσιν.

μηνεύειν πλέον ὧν ἅπαντες ἄνθρωποι γιγνώσκουσιν. — — οὓς οἱ δεινοὶ περὶ τὰς προσηγορίας οὐδ' ὅρους ἀξιοῦσιν, ἀλλ' ὑπογραφάς τε καὶ ὑποτυπώσεις ὀνομάζειν.

**230** Galenus adv. Lycum 3. Vol. XVIII A. p. 209 K. οὕτως οὖν ἀπαίδευτον ἐρωτᾷ λόγον ὁ Λύκος, ὥστε οὐκ αἰσθάνεται τὰς τέχνας ἁπάσας ἀναιρῶν. ἐν γάρ τοι τῇ γνώσει τῶν διαφορῶν ἑκάστου τῶν ὄντων αἱ τέχναι συνίστανται. καὶ τοῦτο ἐπὶ πλεῖστον μὲν κἀν τῷ Φιλήβῳ διῆλθεν ὁ Πλάτων εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος· ἐφύλαξε δ' αὐτοῦ τὴν γνώμην Ἀριστοτέλης καὶ Θεόφραστος, Χρύσιππός τε καὶ Μνησίθεος καὶ οὐδεὶς ὅστις οὐ διῆλθεν ἐν τῷ περὶ τέχνης γράμματι τὸν αὐτὸν λόγον.

## § 8. *Περὶ λόγων* καὶ συλλογισμῶν.

Quot Chrysippus libros scripserit ad syllogisticam doctrinam pertinentes vid. n. 14 v. *Λογικοῦ τόπου πρὸς τοὺς λόγους καὶ τοὺς τρόπους.*

**231** Galenus de libris propriis 11. Vol. XIX p. 43 K. ἔτι δὲ παῖς ὤν, ἡνίκα πρῶτον ὁ πατήρ με τῷ τὴν λογικὴν θεωρίαν Χρυσίππου καὶ τῶν ἐνδόξων Στωϊκῶν διδάξοντι παρέδωκεν, ἐποιησάμην ἐμαυτῷ τῶν Χρυσίππου συλλογιστικῶν βιβλίων ὑπομνήματα.

**232** Galenus de libris propriis 16. Vol. XIX p. 47 K. de Stoicorum logica doctrina se scripsisse testatur haec: περὶ τῆς κατὰ Χρύσιππον λογικῆς θεωρίας γ'. τῆς Χρυσίππου συλλογιστικῆς πρώτης ὑπομνήματα γ'. δευτέρας ἕν. περὶ τῆς λογικῆς δυνάμεως καὶ θεωρίας ζ'. περὶ τῆς χρείας τῶν εἰς τοὺς συλλογισμοὺς θεωρημάτων ἕν. — — περὶ τῆς χρείας τῶν εἰς τοὺς συλλογισμοὺς θεωρημάτων β'.

**233** Lucianus Icaromen. 24 (Iupiter loquitur:) τοιγαροῦν ψυχροτέρους ἄν μου τοὺς βωμοὺς ἴδοις τῶν Πλάτωνος Νόμων ἢ τῶν Χρυσίππου συλλογισμῶν.

**234** Galenus de Hippocr. et Plat. plac. II. 3 (91) p. 178 Mü. καὶ ταύτῃ διήνεγκεν ἐπιστημονικὸν δεῖξεως λῆμμα ῥητορικοῦ τε καὶ γυμναστικοῦ καὶ σοφιστικοῦ, ὑπὲρ ὧν οὐδ' αὐτῶν οὐδεμίαν ἐδίδαξαν ἡμᾶς οὔτε μέθοδον οὔτε γυμνασίαν οἵγε περὶ τὸν Ζήνωνα καὶ τὸν Χρύσιππον. ὅθεν ἀναμέμικται φύρδην ἐν τοῖς βιβλίοις αὐτῶν ἐφεξῆς ἅπαντα τὰ λήμματα. καὶ πολλάκις ἡγεῖται μέν, εἰ οὕτως ἔχει, ῥητορικὸν ἐπιχείρημα, τούτῳ δ' ἕπεται γυμναστικόν τε καὶ δια-

---

23 num hic commentarius pertinuit ad librum: περὶ τῶν πρώτων καὶ ἀναποδείκτων συλλογισμῶν πρὸς Ζήνωνα α'?. An totam syntaxin primam et alteram commentatus est? 25 Scripsit Chrysippus: περὶ τῶν εἰς τοὺς συλλογισμοὺς θεωρημάτων.

λεκτικόν, εἶθ' ἑξῆς ἐπιστημονικόν, εἶθ' οὕτως εἰ ἔτυχε σοφιστικόν, οὐκ εἰδότων, ὡς τὰ μὲν ἐπιστημονικὰ λήμματα πρὸς τὴν οὐσίαν ἀναφέρεται τοῦ ζητουμένου etc.

**235** Diogenes Laërt. VII 45. εἶναι δὲ τὸν λόγον αὐτὸν σύστημα ἐκ λημμάτων καὶ ἐπιφορᾶς· τὸν δὲ συλλογισμὸν λόγον συλλογιστικὸν ἐκ τούτων· τὴν δὲ ἀπόδειξιν λόγον διὰ τῶν μᾶλλον καταλαμβανομένων τὸ ἧττον καταλαμβανόμενον περαίνοντα.

**236** [Ammonius] in Aristot. Analyt. pr. (Comm. graec. IV 6) p. 68, 4 Wal. τίνα τὰ ὀνόματα οἷς οἱ Στωϊκοὶ κέχρηνται; οὗτοι τοίνυν τὰ πράγματα τυγχάνοντα καλοῦσι· τέλος γὰρ τὸ τυχεῖν τούτων· τὰ νοήματα ἐκφορικά. ταῦτα γὰρ ἐκφέρομεν διὰ τῶν φωνῶν, τὰς φωνὰς λεκτά. τὸ συνημμένον ἢ διεζευγμένον τροπικὸν διὰ τὸ τρόπον ποιεῖσθαι ἀπ' ἄλλης προτάσεως εἰς ἄλλην· τὸ ἡγούμενον ὁμοίως ἡμῖν ἡγούμενον, τὸ ἑπόμενον λῆγον, τὴν πρόσληψιν ὁμοίως ἡμῖν πρόσληψιν. — — ὃ δ' ἡμεῖς λέγομεν συμπέρασμα, ἐκεῖνοι ἐπιφορὰν καλοῦσι. τοὺς δ' ὑποθετικοὺς συλλογισμοὺς ἀναποδείκτους καλοῦσι καὶ θέματα.

**237** Ammonius in Aristot. Analyt. pr. p. 26, 36. οἱ δὲ Στωϊκοὶ ἀξιώματα αὐτὰς (scil. τὰς προτάσεις) ἐκάλουν καὶ λήμματα παρὰ τὸ λαμβάνειν καὶ ἀξιοῦν αὐτὰς ἀληθεῖς εἶναι, ὡς τὰ παρὰ τοῖς γεωμέτραις ἀξιώματα.

**238** Diocles Magnes apud Diog. Laërt. VII 77. τῶν δὲ λόγων οἱ μέν εἰσιν ἀπέραντοι, οἱ δὲ περαντικοί· ἀπέραντοι μὲν ὧν τὸ ἀντικείμενον τῆς ἐπιφορᾶς οὐ μάχεται τῇ διὰ τῶν λημμάτων συμπλοκῇ, οἷον οἱ τοιοῦτοι „εἰ ἡμέρα ἐστί, φῶς ἐστι· ἡμέρα δέ ἐστι· περιπατεῖ ἄρα Δίων". τῶν δὲ περαντικῶν λόγων οἱ μὲν ὁμωνύμως τῷ γένει λέγονται περαντικοί, οἱ δὲ συλλογιστικοί. συλλογιστικοὶ μὲν οὖν εἰσιν οἱ ἤτοι ἀναπόδεικτοι ὄντες ἢ ἀναγόμενοι ἐπὶ τοὺς ἀναποδείκτους κατά τι τῶν θεμάτων ἤ τινά, οἷον οἱ τοιοῦτοι „εἰ περιπατεῖ Δίων, ⟨κινεῖται Δίων· ἀλλὰ μὴν περιπατεῖ Δίων·⟩ κινεῖται ἄρα Δίων". περαντικοὶ δέ εἰσιν εἰδικῶς οἱ συνάγοντες μὴ συλλογιστικῶς, οἷον οἱ τοιοῦτοι „ψεῦδός ἐστι τὸ ἡμέρα ἐστὶ καὶ νύξ ἐστι· ἡμέρα δέ ἐστιν· οὐκ ἄρα νύξ ἐστιν". ἀσυλλόγιστοι δ' εἰσὶν οἱ παρακείμενοι μὲν πιθανῶς τοῖς συλλογιστικοῖς, οὐ συνάγοντες δέ, οἷον „εἰ ἵππος ἐστὶ Δίων, ζῷόν ἐστι Δίων ⟨ἀλλὰ μὴν ἵππος οὐκ ἔστι Δίων⟩· οὐκ ἄρα ζῷόν ἐστι Δίων". ἔτι τῶν λόγων οἱ μὲν ἀληθεῖς εἰσιν, οἱ δὲ ψευδεῖς. ἀληθεῖς μὲν οὖν εἰσι λόγοι οἱ δι' ἀληθῶν συνάγοντες, οἷον „εἰ ἡ ἀρετὴ ὠφελεῖ, ἡ κακία βλάπτει· ⟨ἀλλὰ μὴν ὠφελεῖ ἡ ἀρετή· ἡ κακία ἄρα βλάπτει⟩. ψευδεῖς δέ εἰσιν οἱ

---

5 συστημάτων καὶ ἐπιφορᾶς (om. ἐκ λημμάτων) BPF, corr. Beier. 7 περαίνοντα P. Faber, περὶ πάντων libri. 11 λεκτά. hoc falsum esse patet. 12 Scripsit Chrysippus: σύγκρισις τῶν τροπικῶν ἀξιωμάτων α΄. 14 Cf. Bekker. Anecd. gr. p. 518 καλούμενον γοῦν ἔστιν εὑρέσθαι παρὰ τοῖς Στωϊκοῖς τὸν „δέ γε" (scil. σύνδεσμον) ὄντα προσληπτικόν· τοὺς γὰρ ἀπὸ συναφῆς λόγους εἰς σχηματισμὸν μετιόντας ἡ τοιαύτη σύνταξις ἢ τῶν συνδέσμων ὑπάγει· „εἰ ἡμέρα ἐστί, φῶς ἐστίν· ἡμέρα δέ γε ἐστίν." καὶ ἐπεὶ ἐν προσλήψει ἐγένετο ὁ λόγος, προσληπτικοὶ οἱ τοιοῦτοι σύνδεσμοι. 15 Scripsit idem: περὶ τῶν ἐπιφορῶν πρὸς Ἀρισταγόραν α΄. 22 οὐ om. BPF, add. Rossius e cod. Steph. 25 ἤτι B. ‖ ἐπί τι BPF, τι om. vulg. 27 κινεῖται — Δίων supplevi. 31 ζῶον (pro Δίων) F. 32 ἀλλὰ μὴν — Δίων om. BPF. 35 necessaria supplevi. Scripsit Chrysippus: περὶ τῶν περαινόντων λόγων πρὸς Ζήνωνα α΄. λόγοι συλλογιστικοὶ κατὰ ἀνάλυσιν ἐν τοῖς ἀναποδείκτοις α΄.

τῶν λημμάτων ἔχοντές τι ψεῦδος ἢ ἀπέραντοι ὄντες, οἷον „εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἡμέρα δέ ἐστι· ζῇ ἄρα Δίων“. καὶ δυνατοὶ δ' εἰσὶ λόγοι καὶ ἀδύνατοι καὶ ἀναγκαῖοι καὶ οὐκ ἀναγκαῖοι.

**239** Sextus adv. math. VIII 411. οἴονται τοίνυν (scil. Stoici) τρεῖς τινας ἀλλήλοις συζυγεῖν λόγους, τόν τε συνακτικὸν καὶ τὸν ἀληθῆ καὶ τὸν ἀποδεικτικόν· ὧν τὸν μὲν ἀποδεικτικὸν πάντως ἀληθῆ τε καὶ συνακτικόν, τὸν δὲ ἀληθῆ πάντως συνακτικὸν μὲν ὑπάρχειν, οὐκ ἐξ ἀνάγκης δὲ καὶ ἀποδεικτικόν, τὸν δὲ συνακτικὸν οὔτε πάντως ἀληθῆ οὔτε πάντως ἀποδεικτικόν. — καὶ ὁ μὲν τοιοῦτος ἡμέρας οὔσης „εἰ νύξ ἐστι, σκότος ἐστίν· ἀλλὰ μὴν νύξ ἐστιν· σκότος ἄρα ἐστὶν“ συνάγει μὲν διὰ τὸ ἐν ὑγιεῖ ἠρωτῆσθαι σχήματι, οὐκ ἔστι δὲ ἀληθής, τὸ δεύτερον λῆμμα ἔχων ψεῦδος, τὴν πρόσληψιν, τὸ „ἀλλὰ μὴν νύξ ἐστιν“. ὁ δὲ οὕτως ἔχων ἡμέρας οὔσης „εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· φῶς ἄρα ἐστίν“ συνακτικὸς ἅμα ἦν καὶ ἀληθὴς τῷ καὶ ἐν ὑγιεῖ ἠρωτῆσθαι σχήματι καὶ δι' ἀληθῶν ἀληθὲς συνάγειν.

Κρίνεσθαι δέ φασι τὸν συνακτικὸν λόγον ὅτι συνακτικός ἐστιν, ὅταν τῇ διὰ τῶν λημμάτων αὐτοῦ συμπλοκῇ ἕπηται τὸ συμπέρασμα· οἷον τὸν τοιοῦτον λόγον ἡμέρας οὔσης „εἰ νύξ ἐστι, σκότος ἐστίν· ἀλλὰ μὴν νύξ ἐστιν· σκότος ἄρα ἐστίν“ καίπερ μὴ ὄντα ἀληθῆ διὰ τὸ ἐπὶ ψεῦδος ἄγειν, συνακτικὸν εἶναι φαμέν· συμπλέξαντες γὰρ οὕτω τὰ λήμματα „νύξ ἐστι καὶ εἰ νύξ ἐστι, σκότος ἐστί“, ποιοῦμεν συνημμένον [συλλογισμόν], ἀρχόμενον μὲν ἀπὸ τῆς τοιαύτης συμπλοκῆς, λῆγον δὲ εἰς τὸ συμπέρασμα, τοιοῦτον „⟨εἰ⟩ νύξ ἐστι καὶ εἰ νύξ ἐστι, σκότος ἐστί, ⟨σκότος ἐστίν⟩“. τοῦτο γὰρ τὸ συνημμένον ἀληθές ἐστι, διὰ τό μηδέποτε ἀρχόμενον ἀπὸ τοῦ ἀληθοῦς λήγειν ἐπὶ ψεῦδος· ἡμέρας μὲν γὰρ οὔσης ἄρχεται ἀπὸ ψεύδους — — καὶ λήξει ἐπὶ ψεῦδος — καὶ οὕτως ἔσται ἀληθές· νυκτὸς δὲ ἄρξεταί τε ἀπ' ἀληθοῦς καὶ λήξει ἐπ' ἀληθές, καὶ ἔσται παρ' αὐτὸ τοῦτο ἀληθές. οὐκοῦν ὁ μὲν συνακτικὸς τότε ἐστὶν ὑγιής, ὅταν συμπλεξάντων ἡμῶν τὰ λήμματα καὶ συνημμένον ποιησάντων τὸ ἀρχόμενον μὲν ἀπὸ τῆς διὰ τῶν λημμάτων συμπλοκῆς, λῆγον δ' εἰς τὸ συμπέρασμα, εὑρίσκηται τοῦτο αὐτὸ συνημμένον ἀληθές. — ὁ δ' ἀληθὴς λόγος κρίνεται ὅτι ἔστιν ἀληθὴς οὐκ ἐκ τοῦ μόνον τὸ συνημμένον τὸ ἀρχόμενον ἀπὸ τῆς διὰ τῶν λημμάτων συμπλοκῆς καὶ λῆγον εἰς τὸ συμπέρασμα εἶναι ἀληθές, ἀλλὰ καὶ ἐκ τοῦ τὸ διὰ τῶν λημμάτων συμπεπλεγμένον ὑπάρχειν ὑγιές· ὡς ἂν τὸ ἕτερον τούτων εὑρίσκηται ψεῦδος, καὶ τὸν λόγον ἐξ ἀνάγκης γίνεσθαι ψευδῆ. — — ὥστε γίνεται ἀληθὴς ὁ λόγος οὔτε ὅταν τὸ συμπεπλεγμένον μόνον ᾖ ἀληθὲς οὔτε ὅταν τὸ συνημμένον, ἀλλ' ὅταν ἀμφότερα ἀληθῆ. — ὁ δὲ ἀποδεικτικὸς τοῦ ἀληθοῦς διαφέρει, ὅτι ὁ μὲν ἀληθὴς δύναται ἐναργῆ ἔχειν πάντα, φημὶ δὲ τά τε λήμματα καὶ τὴν ἐπιφοράν, ὁ δὲ ἀποδεικτικὸς πλέον τι ἔχειν βούλεται, λέγω δὲ τὸ τὴν ἐπιφορὰν ἄδηλον οὖσαν ἐκκαλύπτεσθαι ὑπὸ τῶν λημμάτων. ὅθεν ὁ μὲν τοιοῦτος — — ἐναργῆ ἔχων τὰ λήμματα καὶ τὴν ἐπιφορὰν ἀληθής ἐστι καὶ οὐκ ἀποδεικτικός· ὁ δὲ τοιοῦτος „εἰ γάλα ἔχει ἐν μαστοῖς ἥδε, κεκύηκεν ἥδε· ἀλλὰ μὴν γάλα ἔχει ἐν μαστοῖς ἥδε· κεκύηκεν ἄρα ἥδε“ σὺν τῷ ἀληθὴς εἶναι ἔτι καὶ ἀποδεικτικός ἐστιν· ἄδηλον γὰρ ἔχων τὸ συμπέρασμα — τοῦτο διὰ τῶν λημμάτων ἐκκαλύπτει.

---

20 *συλλογισμόν* seclusi. 21 *λῆγον* scripsi, *λήγοντα* libri. 21. 22 *εἰ* et *σκότος ἐστίν* supplevi. 25 *τε* Bk., *μὲν* libri. 32 *τὸ* huc transposui, quod post *λημμάτων* collocant libri. 36 Ad haec adhibe disputationem *περὶ σημείου* n. 221 v.

**239a** [Apuleius] *περὶ ἑρμηνείας* 277 (p. 15, 11 Goldb.). Est et altera probatio communis omnium etiam indemonstrabilium, quae dicitur „impossibile" appellaturque a Stoicis „prima constitutio" vel „primum expositum". quod sic definiunt: „Si ex duobus tertium quid colligitur, alterum eorum cum contrario illationis colligit contrarium reliqui". — — quae res inventa est adversus eos, qui concessis acceptionibus id, quod ex illis colligitur, impudenter recusant. — — nec frustra constituerunt dialectici eum modum verum esse, cuius adversum illationis cum alterutra acceptione tollit reliquam. At Stoici quidem tantum negativa particula praeposita putant illationem recusari etc.

**240** Sextus adv. math. VIII 429. *περὶ μὲν οὖν τῶν περαινόντων πολλῆς καὶ ἀκριβοῦς οὔσης ζητήσεως οὐκ ἀνάγκη νῦν διεξελθεῖν, περὶ δὲ τῶν ἀπεράντων λόγων ἐπὶ ποσὸν ὑποδεικτέον. τοίνυν φασὶ τετραχῶς γίγνεσθαι τὸν ἀπέραντον λόγον, ἤτοι κατὰ διάρτησιν ἢ κατὰ παρολκήν, ἢ κατὰ τὸ ἐν μοχθηρῷ ἠρωτῆσθαι σχήματι ἢ κατὰ ἔλλειψιν. — ἀλλὰ κατὰ διάρτησιν μὲν ὅταν μηδεμίαν ἔχῃ κοινωνίαν καὶ συνάρτησιν τὰ λήμματα πρὸς ἄλληλά τε καὶ πρὸς τὴν ἐπιφοράν, οἷον ἐπὶ τοῦ τοιούτου λόγου „εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν πυροὶ ἐν ἀγορᾷ πωλοῦνται· φῶς ἄρα ἐστίν". — — κατὰ δὲ παρολκὴν ἀπέραντος γίνεται ὁ λόγος ὅταν ἔξωθέν τι καὶ περισσῶς παραλαμβάνηται τοῖς λήμμασι, καθάπερ ἐπὶ τοῦ οὕτως ἔχοντος „εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἀλλὰ καὶ ἡ ἀρετὴ ὠφελεῖ· φῶς ἄρα ἐστίν". — — διὰ δὲ τὸ ἐν μοχθηρῷ ἠρωτῆσθαι σχήματι ἀπέραντος γίνεται λόγος ὅταν ἔν τινι τῶν παρὰ τὰ ὑγιῆ σχήματα θεωρουμένων ἐρωτηθῇ σχήματι· οἷον ὄντος ὑγιοῦς σχήματος τοῦ τοιούτου „εἰ τὸ πρῶτον, τὸ δεύτερον· τὸ δέ γε πρῶτον, τὸ ἄρα δεύτερον", ὄντος δὲ καὶ τοῦ „εἰ τὸ πρῶτον τὸ δεύτερον· οὐχὶ δέ γε τὸ πρῶτον, οὐκ ἄρα τὸ δεύτερον", φαμὲν τὸν ἐν τοιούτῳ σχήματι ἐρωτηθέντα „εἰ τὸ πρῶτον τὸ δεύτερον· οὐχὶ δέ γε τὸ πρῶτον· οὐκ ἄρα τὸ δεύτερον" ἀπέραντον εἶναι, οὐχ ὅτι ἀδύνατόν ἐστιν ἐν τῷ τοιούτῳ σχήματι λόγον συνερωτᾶσθαι δι' ἀληθῶν ἀληθὲς συνάγοντα (δύναται γάρ, οἷον ὁ τοιοῦτος „εἰ τὰ τρία τέσσαρά ἐστιν, τὰ ἓξ ὀκτώ ἐστιν· οὐχὶ δέ γε τὰ τρία τέσσαρά ἐστιν· οὐκ ἄρα τὰ ἓξ ὀκτώ ἐστιν"), τῷ δὲ δύνασθαί τινας λόγους ἐν αὐτῷ τάττεσθαι μοχθηρούς, καθάπερ καὶ τὸν τοιοῦτον· „εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα· οὐκ ἄρα ἐστὶ φῶς". — κατ' ἔλλειψιν δὲ ἀπέραντος ἐγίνετο ὁ λόγος, ὅταν ἐλλείπῃ τι τῶν συνακτικῶν λημμάτων. οἷον „ἤτοι κακόν ἐστιν ὁ πλοῦτος ἢ ἀγαθόν ἐστιν ὁ πλοῦτος· οὐχὶ δέ γε κακόν ἐστιν ὁ πλοῦτος· ἀγαθὸν ἄρα ἐστὶν ὁ πλοῦτος". ἐλλείπει γὰρ ἐν τῷ διεζευγμένῳ τὸ ἀδιάφορον εἶναι τὸν πλοῦτον, ὥστε τὴν ὑγιῆ συνερώτησιν τοιαύτην μᾶλλον ὑπάρχειν „ἤτοι ἀγαθόν ἐστιν ὁ πλοῦτος ἢ κακόν ἐστιν ἢ ἀδιάφορον· οὔτε ⟨δέ γ'⟩ ἀγαθόν ἐστιν ὁ πλοῦτος οὔτε κακόν· ἀδιάφορον ἄρα ἐστίν".*

**241** Diocles Magnes apud Diog. Laërt. VII 79. *εἰσὶ δὲ καὶ ἀναπόδεικτοί τινες, τῷ μὴ χρῄζειν ἀποδείξεως, ἄλλοι μὲν παρ' ἄλλοις, παρὰ δὲ τῷ Χρυσίππῳ πέντε, δι' ὧν πᾶς λόγος πλέκεται,*

---

2 indemonstrabilium = *τῶν ἀναποδείκτων*. 5 illationis = *τῆς ἐπιφορᾶς*. 19 Scripsit Chrysippus: *περὶ τῶν παρελκόντων λόγων πρὸς Πάσυλον β'*. 22 Scripsit idem: *περὶ τῶν κατὰ ψευδῆ σχήματα συλλογισμῶν ε'*. 39 *δέ γ'* add. Bk.

οἵτινες λαμβάνονται ἐπὶ τῶν περαντικῶν καὶ ἐπὶ τῶν συλλογιστικῶν καὶ ἐπὶ τῶν τροπικῶν. πρῶτος δέ ἐστιν ἀναπόδεικτος, ἐν ᾧ πᾶς λόγος συντάσσεται ἐκ συνημμένου καὶ τοῦ ἡγουμένου, ἀφ' οὗ ἄρχεται τὸ συνημμένον, καὶ τὸ λῆγον ἐπιφέρει, οἷον „εἰ τὸ πρῶτον, τὸ δεύτερον· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον". δεύτερος δ' ἐστὶν ἀναπόδεικτος ὁ διὰ συνημμένου καὶ τοῦ ἀντικειμένου τοῦ λήγοντος τὸ ἀντικείμενον τοῦ ἡγουμένου ἔχων συμπέρασμα, οἷον „εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν νύξ ἐστιν· οὐκ ἄρα ἡμέρα ἐστίν". ἡ γὰρ πρόσληψις γίνεται ἐκ τοῦ ἀντικειμένου τῷ λήγοντι καὶ ἡ ἐπιφορὰ ἐκ τοῦ ἀντικειμένου τῷ ἡγουμένῳ. τρίτος δ' ἐστὶν ἀναπόδεικτος ὁ δι' ἀποφατικοῦ συμπλοκῆς καὶ ἑνὸς τῶν ἐν τῇ συμπλοκῇ ἐπιφέρων τὸ ἀντικείμενον τοῦ λοιποῦ, οἷον „οὐχὶ τέθνηκε Πλάτων καὶ ζῇ Πλάτων· ἀλλὰ μὴν τέθνηκε Πλάτων· οὐκ ἄρα ζῇ Πλάτων". τέταρτος δέ ἐστιν ἀναπόδεικτος ὁ διὰ διεζευγμένου καὶ ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἔχων συμπέρασμα, οἷον „ἤτοι τὸ πρῶτον ἢ τὸ δεύτερον· ἀλλὰ μὴν τὸ πρῶτον· οὐκ ἄρα τὸ δεύτερον". πέμπτος δέ ἐστιν ἀναπόδεικτος, ἐν ᾧ πᾶς λόγος συντάσσεται ἐκ διεζευγμένου καὶ ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ ἀντικειμένου καὶ ἐπιφέρει τὸ λοιπόν, οἷον „ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν· οὐχὶ δὲ νύξ ἐστιν· ἡμέρα ἄρα ἐστίν".

242 Sextus adv. math. VIII 223. εὐθέως γάρ, ἵνα μικρὸν ἄνωθεν προλάβωμεν, ἀναπόδεικτοι λέγονται διχῶς, οἵ τε μὴ ἀποδεδειγμένοι καὶ οἱ μὴ χρείαν ἔχοντες ἀποδείξεως τῷ αὐτόθεν εἶναι περιφανὲς ἐπ' αὐτῶν τὸ ὅτι συνάγουσιν. ἐπεδείξαμεν δὲ πολλάκις ὡς κατὰ τὸ δεύτερον σημαινόμενον ταύτης ἠξίωνται τῆς προσηγορίας οἱ κατ' ἀρχὴν τῆς πρώτης περὶ συλλογισμῶν εἰσαγωγῆς παρὰ τῷ Χρυσίππῳ τεταγμένοι. νυνὶ δὲ ἐφ' ὁμολόγῳ τούτῳ γνωστέον ὅτι πρῶτος μέν ἐστιν ἀναπόδεικτος ὁ ἐκ συνημμένου καὶ τοῦ ἡγουμένου, τὸ λῆγον ἐν ἐκείνῳ τῷ συνημμένῳ ἔχων συμπέρασμα. τουτέστιν ὅταν λόγος δύο ἔχῃ λήμματα, ὧν τὸ μὲν ἕτερόν ἐστι συνημμένον τὸ δὲ ἕτερον ἡγούμενον ἐν τῷ συνημμένῳ, ἔχῃ δὲ καὶ ἐπιφορὰν τὸ λῆγον ἐν τῷ αὐτῷ συνημμένῳ, τότε ὁ τοιοῦτος λόγος πρῶτος ἀναπόδεικτος καλεῖται, οἷον ὁ οὕτως ἔχων „εἰ ἡμέρα ἔστι, φῶς ἔστιν· ἀλλὰ μὴν ἡμέρα ἔστιν· φῶς ἄρα ἔστιν". οὗτος γὰρ τὸ μὲν ἕτερον τῶν λημμάτων ἔχει συνημμένον, τὸ „εἰ ἡμέρα ἔστι, φῶς ἔστιν", τὸ δὲ λοιπὸν τὸ ἡγούμενον ἐν τῷ συνημμένῳ „ἀλλὰ μὴν ἡμέρα ἔστιν", τὸ ⟨δὲ⟩ „φῶς ἄρα ἔστιν" τρίτον τὴν ἐπιφορὰν τὸ λῆγον τοῦ συνημ-

1 συλλογισμῶν PF. 3 λόγος om. F. ‖ ἄρχεταί τι BPF, corr. Cobet. 7 ἔχον BP. 8 verba ἐστί — ἡμέρα om. BF (suppl. m. 2 in mrg.) 11 ἀποφατικοῦ BPF, ἀποφατικῆς vulgo. 13 καὶ ζῇ Πλάτων om B. 15 ἔχον PF. 37 δὲ add. Bk

μένου. — δεύτερος δ' ἐστὶν ἀναπόδεικτος ὁ ἐκ συνημμένου καὶ τοῦ ἀντικειμένου τῷ λήγοντι ἐν ἐκείνῳ τῷ συνημμένῳ, τὸ ἀντικείμενον τῷ ἡγουμένῳ ἔχων συμπέρασμα. τουτέστιν ὅταν λόγος πάλιν ἐκ δυοῖν συνεστὼς λημμάτων, ὧν τὸ μὲν ἕτερόν ἐστι συνημμένον, τὸ δὲ ἕτερον ἀντικείμενον τῷ λήγοντι ἐν τῷ συνημμένῳ, ἔχῃ δὲ καὶ ἐπιφορὰν τὸ ἀντικείμενον τῷ ἡγουμένῳ, τότε ὁ τοιοῦτος γίνεται δεύτερος ἀναπόδεικτος, ὡς τὸ „εἰ ἡμέρα ἔστι, φῶς ἔστιν· οὐχὶ δέ γε φῶς ἔστιν· οὐκ ἄρα ἔστιν ἡμέρα". τό τε γὰρ „εἰ ἔστιν ἡμέρα, φῶς ἔστιν" τὸ ἕτερον λῆμμα τοῦ λόγου συνημμένον ἐστί, τό τε „οὐχὶ δέ γε φῶς ἔστιν" λοιπὸν λῆμμα τοῦ λόγου καθεστώς, ἀντικείμενόν ἐστι τῷ λήγοντι ἐν τῷ συνημμένῳ· ἥ τε ἐπιφορὰ ἡ „οὐκ ἄρα ἡμέρα ἔστιν" τὸ ἀντικείμενον ἦν τοῦ ἡγουμένου. — τρίτος δέ ἐστι λόγος ἀναπόδεικτος ὁ ἐξ ἀποφατικοῦ συμπλοκῆς καὶ ἑνὸς τῶν ἐν τῇ συμπλοκῇ, τὸ ἀντικείμενον τοῦ λοιποῦ τῶν ἐν τῇ συμπλοκῇ ἔχων συμπέρασμα, οἷον „οὐχὶ καὶ ἡμέρα ἔστι καὶ νὺξ ἔστιν· ἡμέρα δὲ ἔστιν· οὐκ ἄρα ἔστι νύξ". τὸ μὲν γὰρ „οὐχὶ καὶ ἡμέρα ἔστι καὶ νὺξ ἔστιν" ἀποφατικὸν ἦν συμπεπλεγμένου τοῦ „καὶ ἡμέρα ἔστι καὶ νὺξ ἔστι", τὸ δὲ „ἡμέρα ἔστι" τὸ ἕτερον ἐτύγχανε τῶν ἐν τῇ συμπλοκῇ, τὸ δὲ „οὐκ ἄρα ἔστι νύξ" τὸ ἀντικείμενον ἦν τῷ λοιπῷ τῶν ἐν τῇ συμπλοκῇ. — Οἱ μὲν οὖν λόγοι τοιοῦτοί τινές εἰσι, τρόποι δὲ αὐτῶν καὶ ὡσπερεὶ σχήματα ἐν οἷς ἠρώτηνται οἱ οὕτως ἔχοντες, τοῦ μὲν πρώτου ἀναποδείκτου· „εἰ τὸ πρῶτον, τὸ δεύτερον· τὸ δέ γε πρῶτον· τὸ ἄρα δεύτερον". τοῦ δὲ δευτέρου „εἰ τὸ πρῶτον, τὸ δεύτερον· οὐχὶ δέ γε τὸ δεύτερον· οὐκ ἄρα τὸ πρῶτον", τοῦ δὲ τρίτου „οὐχὶ καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον· τὸ δέ γε πρῶτον· οὐκ ἄρα τὸ δεύτερον". —Ἔτι χρὴ γινώσκειν ὅτι τῶν ἀναποδείκτων οἱ μέν εἰσιν ἁπλοῖ οἱ δὲ οὐχ ἁπλοῖ· ὧν ἁπλοῖ μέν εἰσιν οἱ αὐτόθεν σαφὲς ἔχοντες τὸ ὅτι συνάγουσιν — — ὁποῖοί εἰσιν οἱ ἐκκείμενοι. — — οὐχ ἁπλοῖ δέ εἰσιν οἱ ἐκ τῶν ἁπλῶν πεπλεγμένοι καὶ ἔτι χρείαν ἔχοντες τῆς εἰς ἐκείνους ἀναλύσεως, ἵνα γνωσθῶσιν ὅτι καὶ αὐτοὶ συνάγουσιν. τούτων δὲ τῶν οὐχ ἁπλῶν οἱ μὲν ἐξ ὁμογενῶν εἰσι συνεστῶτες, οἱ δὲ ἐξ ἀνομογενῶν, καὶ ἐξ ὁμογενῶν μὲν ὥσπερ οἱ ἐκ δυοῖν πρώτων ἀναποδείκτων πεπλεγμένοι ἢ ἐκ δυοῖν δευτέρων, ἐξ ἀνομογενῶν δὲ ὥσπερ οἱ ἐκ πρώτου ἀναποδείκτου συνεστῶτες ἢ ἐκ δευτέρου καὶ τρίτου, καὶ κοινῶς οἱ τούτοις παραπλήσιοι (sequuntur apud Sextum § 230 exempla).

**243** Diocles Magnes apud Diog. Laërt. VII 81. ἐπ' ἀληθεῖ δὲ ἀληθὲς ἕπεται, κατὰ τοὺς Στωϊκούς, ὡς τῷ „ἡμέρα ἐστί" τὸ „φῶς ἐστι" καὶ ψεύδει ψεῦδος, ὡς τῷ „νύξ ἐστι" ψεύδει τὸ „σκότος ἐστί", καὶ ψεύδει ἀλη-

---

20 Cf. [Apuleius] περὶ ἑρμην. 279 (p. 17,11 Goldb.) Stoici porro pro litteris numeros usurpant, ut „si primum, secundum; atqui primum; secundum igitur." 37 τὸ B. 38 τὸ BP.

θές, ὡς τῷ „ἵπτασθαι τὴν γῆν“ τὸ „εἶναι τὴν γῆν“. ἀληθεῖ μέντοι ψεῦδος οὐκ ἀκολουθεῖ· τῷ γὰρ „εἶναι τὴν γῆν“ τὸ „πέτεσθαι τὴν γῆν“ οὐκ ἀκολουθεῖ.

**244** Galenus introductio dialectica 7 p. 16, 18 Kalbfl. *κατὰ μὲν δὴ τοὺς τοιούτους συλλογισμοὺς* (locutus erat de quinque illis Chrysippi *ἀναποδείκτοις*) *αἱ προτάσεις ἡγεμονικαὶ τῶν προσλήψεων· οὔτε γὰρ ἐν τῷ διεξευγμένῳ ⟨πλείους ἢ δύο γίγνονται προσλήψεις οὔτ᾽ ἐν τῷ συνημμένῳ⟩, κατὰ δὲ τὴν ἐλλιπῆ μάχην ἓν μόνον οἷόν τε προσλαμβάνειν· ὅπερ οἱ περὶ Χρύσιππον οὐχ ἡγεμονικὰ μόνον ἀλλὰ καὶ τροπικὰ ⟨τὰ⟩ τοιαῦτα τῶν ἀξιωμάτων ὀνομάζουσιν, ὡς ἂν ἐπ᾽ αὐτοῖς ὅλου τοῦ συλλογισμοῦ πηγνυμένου καθάπερ ἐπὶ τρόπιδι νεώς. καὶ μέντοι καὶ τῶν ἐκ τοῦ Περιπάτου τινές. ὥσπερ καὶ Βόηθος οὐ μόνον ἀναποδείκτους ὀνομάζουσι τοὺς ἐκ τῶν ἡγεμονικῶν λημμάτων συλλογισμούς, ἀλλὰ καὶ πρώτους· ὅσοι δὲ ἐκ κατηγορικῶν προτάσεών εἰσιν ἀναπόδεικτοι συλλογισμοί, τούτους οὐκ ἔτι πρώτους ὀνομάζειν συγχωροῦσι· καίτοι καθ᾽ ἕτερόν γε τρόπον οἱ τοιοῦτοι πρότεροι τῶν ὑποθετικῶν εἰσιν, εἴπερ γε καὶ αἱ προτάσεις αὐτῶν, ἐξ ὧν σύγκεινται, πρότεραι βεβαίως εἰσίν· οὐδεὶς γὰρ ἀμφισβητήσει τὸ μὴ οὐ πρότερον εἶναι τὸ ἁπλοῦν τοῦ συνθέτου.*

**245** Galenus introductio dialectica 6 p. 15, 8 Kalbfl. *ὀνομάζουσι δὲ τρόπον οἱ διαλεκτικοὶ τὰ τῶν λόγων σχήματα, οἷον ἐπὶ μὲν τοῦ ⟨ἐκ συνημμ⟩μένου καὶ τοῦ ἡγουμένου τὸ λῆγον περαίνοντος, ὃν ὁ Χρύσιππος ὀνομάζει πρῶτον ἀναπόδεικτον, ὁ τοιοῦτος τρόπος ἐστίν „εἰ τὸ α̅, τὸ β̅· τὸ δὲ α̅· τὸ ἄρα β̅“. ἐπὶ δὲ τοῦ ἐκ συνημμένου ⟨καὶ τοῦ⟩ ἀντικειμένου τῷ εἰς ὃ λήγει τὸ τοῦ ἡγουμένου ἀντικείμενον ἐπιφέροντος, ὃν καὶ αὐτὸν ὁ Χρύσιππος δεύτερον ἀναπόδεικτον ὀνομάζει, τοιοῦτός ἐστιν „εἰ τὸ α̅, τὸ β̅· οὐχὶ δὲ τὸ δεύτερον, οὐκ ἄρα τὸ πρῶτον“, ὥσπερ γε κἀπὶ τοῦ τρίτου κατὰ τοῦτον, ὃς ἐξ ἀποφατικοῦ συμπεπλεγμένου καὶ ἑνὸς τῶν ἐν αὐτῷ τὸ ἀντικείμενον τοῦ λοιποῦ παρέχει, τοιοῦτος ὁ τρόπος ἐστίν „οὐχὶ τὸ α̅ καὶ τὸ β̅· ⟨τὸ δὲ α̅· οὐκ ἄρα τὸ β̅⟩. ὁμοίως δὲ κἀπὶ τοῦ τετάρτου κατὰ τὸν αὐτόν, ὃς ἐκ διεξευγμένου καὶ ἑνὸς τῶν ἐν αὐτῷ τοῦ λοιποῦ τὸ ἀντικείμενον ἐπιφέρει, τοιοῦτός τις ὁ τρόπος ἐστίν „ἤτοι τὸ α̅ ἢ τὸ β̅· τὸ δὲ α̅· οὐκ ἄρα τὸ β̅“. Καὶ τοίνυν κἀπὶ τοῦ*

---

1 *τὸ* B¹PF. ‖ *μέν τι* F. 2 *τὸ* B. ‖ *αὐτὴν* B (pro altero *τὴν γῆν*). 7 *πλείους—συνημμένῳ* supplevi secundum Kalbfl., qui *παραδιεξευγμένῳ* pro *συνημμένῳ*. 8 *τὴν ἐλλιπῆ μάχην* substituit auctor in locum tertii thematis Chrysippi. 10 *τὰ* add. Kalbfl. 11 *τρόπιδι* My., *τρόπιν* cod. 16 *καίτοι* My., *καὶ τοῖς* cod. ‖ *γε* My., *τε* cod. 22 *ὃν ὁ* Kalbfl., *ἐν ᾧ* libri. 24 *ἐπεὶ* cod., corr. My. 25 *καὶ τοῦ* add. Kalbfl. 30 *παράγει* vel *περαίνει* coni. Kalbfl. ‖ *οὐχὶ τὸ* scripsi, *οὐχ ὑπὸ* cod.; *οὐχὶ τό τε* Kalbfl. 31 *τὸ—β̅* suppl. Kalbfl. 32 *τὸν αὐτὸν* Prantl, *τῶν αὐτῶν* cod. ‖ *ὃς* Kalbfl., *ὅσα* cod.

πέμπτον, ὃς ⟨ἐκ⟩ διεξευγμένου καὶ τοῦ ἀντικειμένου ἑνὸς τῶν ἐν αὐτῷ τὸ λοιπὸν ἐπιφέρει, τοιοῦτός [δέ] ἐστιν ὁ τρόπος „ἤτοι τὸ α̅ ἢ τὸ β̅· ⟨οὐχὶ δὲ τὸ α̅, τὸ ἄρα β̅⟩".

**246** Galenus introductio dialectica 5 p. 13,10 Kalbfl. ἐπὶ δὲ τῆς κατὰ συνέχειαν ὑποθετικῆς προτάσεως, ἣν οἱ περὶ τὸν Χρύσιππον ὀνομάζουσι συνημμένον ἀξίωμα, προσλαβόντες μὲν τὸ ἡγούμενον ἕξομεν τὸ λῆγον συμπέρασμα, προσλαβόντες δὲ τὸ τοῦ λήγοντος ἀντικείμενον ἕξομεν συμπέρασμα τὸ τοῦ ἡγουμένου ἀντικείμενον, οὐ μὴν οὔτε τὸ λῆγον προσλαβόντες οὔτε τὸ ἀντικείμενον τοῦ ἡγουμένου συμπέρασμα ἕξομεν.

**247** Galenus introductio dialectica 19 p. 48,23 Kalbfl. διὰ τοῦτο οὖν οὐδὲ τοὺς ὑπὸ Χρυσίππου συντεθέντας ἐν ταῖς τρισὶ Συλλογιστικαῖς ἀχρήστους ἐπιδεικτέον μοι νῦν ἐστιν ἀχρήστους ὄντας· ἑτέρωθι γὰρ ἔδειξα τοῦτο, καθάπερ καὶ ⟨περὶ⟩ τῶν περαντικῶν ὑπ' αὐτοῦ κληθέντων· ἐδείχθη⟨σαν⟩ γὰρ καὶ τούτων ἔνιοι μὲν οὐκ ἴδιόν τι γένος ὄντες συλλογισμῶν, ἀλλὰ ⟨διὰ⟩ πεπονθυίας λέξεως ἑρμηνευόμενοι, ποτὲ μὲν κατ' ἀκολουθίας ὑπέρθεσιν ****· οἱ δὲ ὑποσυλλογιστικοὶ κληθέντες ἐν ἰσοδυναμούσαις λέξεσι τοῖς συλλογιστικοῖς λεγόμενοι· τέλος δὲ περιττοὶ πρὸς τούτοις οὓς ἀμεθόδους ὀνομάζουσιν, οἷς οὐδενὸς ὄντος ὅλως μεθοδικοῦ λόγου συλλογιστέον.

**248** Galenus de Hippocr. et Plat. plac. II 3 (92) p. 182 Mü. νυνὶ δὲ πῶς μὲν οἱ διὰ δύο τροπικῶν ἢ τριῶν ἀναλύονται συλλογισμοὶ καὶ πῶς οἱ ἀδιαφόρως περαίνοντες ἤ τινες ἄλλοι τοιοῦτοι, τῷ πρώτῳ καὶ δευτέρῳ θέματι προσχρώμενοι, πολλοῖς ἔστι συντυχεῖν ἀκριβῶς ἠσκημένοις, ὥσπερ ἀμέλει καὶ ἐπ' ἄλλοις, ὅσοις διὰ τοῦ τρίτου θέματος ἢ τετάρτου συλλογισμοὺς ἀναλύουσι. (καίτοι τούτων τοὺς πλείστους ἔνεστιν ἑτέρως ἀναλύειν συντομώτερον, ὡς Ἀντίπατρος ἔγραψεν, πρὸς τῷ καὶ περιεργίαν εἶναι οὐ μικρὰν ἀχρήστου πράγματος ἅπασαν τὴν τῶν τοιούτων συλλογισμῶν συμπλοκήν, ὡς αὐτὸς ὁ Χρύσιππος ἔργῳ μαρτυρεῖ, μηδαμόθι τῶν ἑαυτοῦ συγγραμμάτων εἰς ἀπόδειξιν δόγματος ἐκείνων δεηθεὶς τῶν συλλογισμῶν. ὅπως δὲ χρὴ γνωρίζειν τε καὶ διακρίνειν ἐπιστημονικὰ λήμματα διαλεκτικῶν τε καὶ ῥητορικῶν καὶ σοφιστικῶν οὐκέτι

1 ὃς⟨ἐκ⟩διεξευγμένου Prantl, ὁ διεξευγμένος cod. ‖ ἑνὸς Prantl, ἐν ᾧ cod. 2 δὲ del. Prantl. 3 οὐχὶ—β̅ suppl. Kalbfl. 13 ἀχρήστους scripsi, ἀχρήστοις cod.; del. Kalbfl. 14 περὶ add. Kalbfl. 15 ἐδείχθησαν My., ἐδείχθη cod. 16 διὰ add. Kalbfl. ‖ ἑρμηνευόμενοι Prantl, ἑρμηνευομένου cod. 17 κατ' ἀκολουθίας Prantl, κατ' ἀκολουθοῦσαν cod. 19 πρὸς τούτοις scripsi, πρὸς αὐτοὺς cod.; potest etiam παρ' αὐτοῖς scribi. 20 οἷς—συλλογιστέον corruptela laborant. 26 ἐν ἄλλοις ⟨συλλογισμοῖς⟩ Müller. ‖ συλλογισμοὺς del. Müller. 30 πλοκήν CM συμπλοκήν ceteri. 33 οὐκέτι ⟨οὔτε⟩ Müller.

ἔγραψαν ἀξιόλογον οὐδὲν οἱ περὶ τὸν Χρύσιππον, οὐδὲ φαίνονται χρώμενοι.

ibidem (93) p. 184 Mü. πρὸς μέντοι τοὺς Στωϊκοὺς ἀναγκαῖόν ἐστι μακρὸν ἀνύεσθαι λόγον, ἀνθρώπους ἐν μὲν τοῖς ἀχρήστοις τῆς λογικῆς θεωρίας ἱκανῶς γεγυμνασμένους, ἐν δὲ τοῖς χρησίμοις ἀγυμναστοτάτους τε ἅμα καὶ μοχθηραῖς ὁδοῖς ἐπιχειρημάτων ἐντεθραμμένους. — — περὶ δὲ τοῦ προτεθέντος ἀεὶ ζητοῦσι, πρὶν ὅπως χρὴ ζητεῖν καταστήσασθαι —

**249** Sextus adv. math. VIII 443. τὸ μὲν γὰρ λέγειν μὴ ἀρέσκειν τῷ Χρυσίππῳ μονολημμάτους εἶναι λόγους, ὃ τάχα τινὲς ἐροῦσι πρὸς τὴν τοιαύτην ἔνστασιν, τελέως ληρῶδες. οὔτε γὰρ ταῖς Χρυσίππου φωναῖς ὡς πυθοχρήστοις παραγγέλμασιν ἀνάγκη πείθεσθαι, οὔτε μαρτυρίᾳ προσέχειν ἀνδρῶν ἐστὶν εἰς οἰκείαν ἀπόῤῥησιν ἐκ μάρτυρος τοῦ τὸ ἐναντίον λέγοντος· Ἀντίπατρος γάρ, τῶν ἐν τῇ στωϊκῇ αἱρέσει ἐπιφανεστάτων ἀνδρῶν, ἔφη δύνασθαι καὶ μονολημμάτους λόγους συνίστασθαι.

Cf. Alexander Aphrod. in Arist. Topica p. 6 Ald. οὓς γὰρ οἱ περὶ τὸν Ἀντίπατρον μονολημμάτους συλλογισμοὺς λέγουσιν, οὐκ εἰσὶ λογισμοί, ἀλλ' ἐνδεῶς ἐρωτῶνται, ὡς οὗτοι· ἀναπνεῖς· ζῇς ἄρα.

**250** Plutarchus de comm. not. 2 p. 1059e. Τὸ γάρ, ὦ ἄριστε, συμπεπλεγμένον τι δι' ἀντικειμένων μὴ φάναι ψεῦδος εὐπόρως εἶναι· λόγους δὲ πάλιν αὖ φάναι τινὰς ἀληθῆ τὰ λήμματα καὶ τὰς ἀγωγὰς ὑγιεῖς ἔχοντας, ἔτι καὶ τὰ ἀντικείμενα τῶν συμπερασμάτων ἔχειν ἀληθῆ, ποίαν ἔννοιαν ἀποδείξεως ἢ τίνα πίστεως οὐκ ἀνατρέπει πρόληψιν;

**251** Dexippus in Aristot. categ. p. 25, 22 Busse. ἀλλὰ δὴ πῶς ἀπαντήσομεν τοῖς ἐριστικοῖς, οἳ τὰ μὴ ὑπάρχοντα τῷ κατηγορουμένῳ λαμβάνοντες ὡς λεγόμενα κατ' αὐτοῦ ποιοῦσι πρὸς τῷ ὑποκειμένῳ τὸν τῆς ἀποφάσεως συλλογισμόν; οἷον ὁ ἄνθρωπος τοῦ Σωκράτους καθ' ὑποκειμένου κατηγορεῖται, κατὰ δὲ τοῦ ἀνθρώπου λέγεται τὸ μὴ εἶναι Σωκράτην· οὐκοῦν καὶ κατὰ Σωκράτους ῥηθείη ἂν τὸ μὴ εἶναι Σωκράτην. Πάλιν γὰρ καὶ πρὸς τούτους ὑπολογιζόμεθα, οὐχ ὡς οἱ Στωϊκοὶ λέγουσι, τὴν τῶν ἀποφατικῶν ὑπεξαίρεσιν, ἀλλ' ὡς Ἀριστοτέλης διδάσκει, τὴν τῶν κατ' οὐσίαν ὑπαρχόντων λῆψιν, ἣν ἐκεῖνοι οὐ παρασωσάμενοι παραλογίζονται, τὰ μὴ ὑπάρχοντα ὡς καθ' ὑποκειμένου λεγόμενα οὐσίαν προσλαμβάνοντες.

**252** Alexander in Aristot. Analyt. pr. p. 390, 16 Wal. ὥστε ἀνάπαλιν κατ' αὐτὸν (scil. Aristotelem) ἢ ὡς οἱ νεώτεροι ἀξιοῦσιν οἱ ὑποθετικοὶ λόγοι περαντικοὶ μέν, οὐ συλλογισμοὶ δέ, — — συλλογισμοὶ δ' οἱ κατηγορικοί.

**253** Alexander in Aristot. Analyt. pr. p. 373, 28 Wal. Ἀριστοτέλης μὲν οὖν οὕτως περὶ τῶν κατὰ τὰς λέξεις μεταλήψεων φέρεται· οἱ δὲ νεώ-

---

1 οὐδὲ scripsi, οὔτε libri. 13 εἰς οἰκείαν — λέγοντος corruptela laborant. 21 συμπεπερασμένον libri deteriores. 41 dixerat enim Aristot. Anal. pr. I

τεροι, ταῖς λέξεσιν ἐπακολουθοῦντες οὐκέτι δὲ τοῖς σημαινομένοις, οὐ ταὐτόν φασι γίνεσθαι ἐν ταῖς εἰς τὰς ἰσοδυναμούσας λέξεις μεταλήψεσι τῶν ὅρων· ταὐτὸν γὰρ σημαίνοντος τοῦ „εἰ τὸ Α τὸ Β“ τῷ ἀκολουθεῖν τῷ Α τὸ Β, συλλογιστικὸν μὲν λόγον φασὶν εἶναι τοιαύτης ληφθείσης τῆς λέξεως „εἰ τὸ Α τὸ Β, τὸ δὲ Α, τὸ ἄρα Β“, οὐκέτι δὲ συλλογιστικὸν ἀλλὰ περαντικὸν τὸ „ἀκολουθεῖ τῷ Α τὸ Β, τὸ δὲ Α, τὸ ἄρα Β“.

**254** Alexander in Aristot. Analyt. pr. p. 262, 28. δι' ὑποθέσεως δὲ ἄλλης, ὡς εἶπεν (scil. Aristoteles), εἶεν ἂν καὶ οὓς οἱ νεώτεροι συλλογισμοὺς μόνους βούλονται λέγειν· οὗτοι δ' εἰσὶν οἱ διὰ τροπικοῦ, ὥς φασι, καὶ τῆς προσλήψεως γινόμενοι, τοῦ τροπικοῦ ἢ συνημμένου ὄντος ἢ διεζευγμένου ἢ συμπεπλεγμένου, οὓς οἱ ἀρχαῖοι λέγουσι μικτοὺς ἐξ ὑποθετικῆς προτάσεως καὶ δεικτικῆς, τοῦτ' ἔστι κατηγορικῆς. cf. ibid. p. 263, 12. — p. 264, 7. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ διαιρετικοῦ „ἤτοι τόδε ἢ τόδε“, ὃ καὶ αὐτὸ ἐκ τροπικοῦ καὶ τῆς προσλήψεως λέγουσιν. — p. 265, 3. ἃ μὲν γὰρ λέγουσι τροπικά, ἐν πᾶσι δι' ὑποθέσεως καὶ ὁμολογίας ὡς φανερὰ παραλαμβάνεται· ἐπὶ τὸ πλεῖστον δὲ δεῖται δείξεως τὰ μεταλαμβανόμενα καὶ προσλαμβανόμενα, εἰ ὅλως εἶεν χρειώδεις οἱ τοιοῦτοι λόγοι· ὡς ὅπου μὴ δεῖται δείξεως τὸ μεταλαμβανόμενον, οὐδὲ συλλογισμός ἐστι τὸ γιγνόμενον, πάντων γε φανερῶν ὄντων.

**255** Alexander in Aristot. Anal. pr. p. 278, 6 Wal. ἔστι δὲ ἡ τοιαύτη σύνθεσις κατὰ τὸ τρίτον ὑπὸ τῶν νεωτέρων καλούμενον θέμα γινομένη. — — 11. τοῦ δέ γε τρίτου καλουμένου θέματος ἡ περιοχὴ καὶ αὐτοῦ ἔχει ὧδε „ὅταν ἐκ δυεῖν τρίτον τι συνάγηται, ἑνὸς δὲ αὐτῶν ἔξωθεν ληφθῇ συλλογιστικά, ἐκ τοῦ λοιποῦ καὶ ἐκ τῶν ἔξωθεν τοῦ ἑτέρου συλλογιστικῶν τὸ αὐτὸ συναχθήσεται.

**256** Simplicius in Arist. de caelo p. 236, 33 Heibg. ἡ δὲ τοιαύτη ἀνάλυσις τοῦ λόγου ἡ τὸ συμπέρασμα λαμβάνουσα καὶ προσλαμβάνουσα ἄλλην πρότασιν κατὰ τὸ τρίτον λεγόμενον παρὰ τοῖς Στωϊκοῖς θέμα περαίνεται, οὗ λόγος κατὰ τοὺς παλαιοὺς τοιοῦτος· ἐὰν ἐκ δυεῖν τρίτον τι συνάγηται, τὸ δὲ συναγόμενον μετ' ἄλλου τινὸς ἔξωθεν συνάγῃ τι, καὶ ἐκ τῶν πρώτων δυεῖν καὶ τοῦ ἔξωθεν προσληφθέντος συναχθήσεται τὸ αὐτό.

**257** Alexander in Aristot. Analyt. pr. p. 283, 7 Wal. οἷον εἰ λάβοιμεν τὸ Α κατὰ τοῦ Β, τὸ Β κατὰ τοῦ Γ, τὸ Γ κατὰ τοῦ Δ, τὸ Δ κατὰ τοῦ Ε, τὸ Α ἄρα κατὰ τοῦ Ε. — — ἐν τῇ τοιαύτῃ τῶν προτάσεων συνεχείᾳ τό τε συνθετικόν ἐστι θεώρημα, περὶ οὗ προειρήκαμεν, καὶ οἱ καλούμενοι ὑπὸ τῶν νεωτέρων ἐπιβάλλοντές τε καὶ ἐπιβαλλόμενοι. — — οἱ δὲ ἐπιβάλλοντές τε καὶ ἐπιβαλλόμενοι καλούμενοι εἶεν ἂν ἐν ταῖς συνεχῶς λαμβανομέναις προτάσεσι χωρὶς τῶν συμπερασμάτων. ἐπιβαλλόμενοι μὲν γάρ εἰσιν, ὧν παρεῖται τὸ συμπέρασμα, ἐπιβάλλοντες δέ, ὧν ἡ δεικτικὴ πρότασις παρεῖται· τὰ γὰρ συμπεράσματα τὰ παραλειπόμενα τῶν ἐπιβαλλομένων συλλογισμῶν, οἵ εἰσι πρῶτοι τῇ τάξει, προτάσεις εἰσὶ δεικτικαὶ τῶν ἐπιβαλλόντων, οἵ εἰσι δεύτεροι τῇ τάξει, οἷον τὸ Α κατὰ παντὸς τοῦ Β, τὸ Β κατὰ παντὸς τοῦ Γ, τὸ Γ κατὰ παντὸς τοῦ Δ, τὸ Α κατὰ παντὸς τοῦ Δ. ἐπιβαλλόμενος γάρ ἐστιν ὁ πρῶτος, οὗ παρεῖται τὸ συμπέρασμα, ὅ ἐστιν „Α κατὰ παντὸς τοῦ Γ“. ἐπιβάλλων δὲ ὁ ἔκ τε τοῦ παρειμένου τοῦ „τὸ Α

---

p. 49b 3 δεῖ δὲ καὶ μεταλαμβάνειν ἃ τὸ αὐτὸ δύναται ὀνόματα ἀντ' ὀνομάτων.
39 παρεῖται bis Ald., παρειᾶται B.

κατὰ τοῦ Γ“ καὶ ἐκ τοῦ „τὸ Γ κατὰ τοῦ Δ“ δεικνύμενος, οὗ ἐστι συμπέρασμα „τὸ ἄρα Α κατὰ τοῦ Δ“. ἐπὶ μὲν οὖν τῶν εἰρημένων καὶ ὁ ἐπιβάλλων καὶ ὁ ἐπιβαλλόμενος ἐν πρώτῳ σχήματι· δύναται δὲ κατὰ τὴν ὁδὸν ταύτην καὶ ἐκ δευτέρου σχήματος ἐπιβάλλειν συλλογισμὸς ἐκ πρώτου σχήματος συλλογισμῷ· ἂν γὰρ „τὸ Α κατὰ παντὸς τοῦ Β, τὸ Β κατὰ παντὸς τοῦ Γ, τὸ Α κατ' οὐδενὸς τοῦ Δ, ⟨τὸ Γ κατ' οὐδενὸς τοῦ Δ⟩“ γίνεται ὁ μὲν ἐπιβαλλόμενος ἐν πρώτῳ σχήματι, οὗ συμπέρασμα „τὸ Α ⟨κατὰ παντὸς τοῦ⟩ Γ, ὁ δὲ ἐπιβάλλων αὐτῷ ἐν δευτέρῳ σχήματι, ὁ ἔχων προτάσεις „τὸ Α κατὰ παντὸς τοῦ Γ“, ὃ παρεῖται ὂν συμπέρασμα τοῦ πρώτου, πρότασις δὲ τούτου, καὶ „τὸ Α κατ' οὐδενὸς τοῦ Δ“, ἔχων συμπέρασμα „τὸ Γ κατ' οὐδενὸς τοῦ Δ“. — δύναται δὲ καὶ ἀνάπαλιν ὁ ἐπιβαλλόμενος εἶναι ἐν δευτέρῳ σχήματι, ὁ δὲ ἐπιβάλλων ἐν τῷ πρώτῳ (sequitur exemplum). τῇ αὐτῇ μεθόδῳ καὶ ἐκ τοῦ τρίτου σχήματος ἔστι καὶ ἐπιβάλλοντα καὶ ἐπιβαλλόμενον λαβεῖν καὶ πρὸς τῶν ἐν πρώτῳ τινὰ σχήματι καὶ πρὸς τῶν ἐν δευτέρῳ· ἀλλὰ καὶ τοὺς ἐκ τῶν αὐτῶν σχημάτων πρὸς ἀλλήλους, τοὺς μὲν ἐν πρώτῳ πρὸς ἀλλήλους, τοὺς δὲ ἐν δευτέρῳ πρὸς ἀλλήλους, καὶ τοὺς ἐν τρίτῳ ὁμοίως· ἀλλὰ καὶ τρεῖς συλλογισμοὺς ἔστιν οὕτως λαβεῖν ἐκ τῶν τριῶν σχημάτων ἐπιβάλλοντάς τε καὶ ἐπιβαλλομένους κατὰ τὸ παραδεδομένον συνθετικὸν θεώρημα, ὃ οἱ μὲν περὶ Ἀριστοτέλη τῇ χρείᾳ παραμετρήσαντες παρέδοσαν ἐφ' ὅσον αὕτη ἀπῄτει, οἱ δὲ ἀπὸ τῆς Στοᾶς παρ' ἐκείνων λαβόντες καὶ διελόντες ἐποίησαν ἐξ αὐτοῦ τὸ καλούμενον παρ' αὐτοῖς δεύτερον θέμα καὶ τρίτον καὶ τέταρτον, ἀμελήσαντες μὲν τοῦ χρησίμου, πᾶν δὲ τὸ ὁπωσοῦν δυνάμενον λέγεσθαι ἐν τῇ τοιαύτῃ θεωρίᾳ, κἂν ἄχρηστον ᾖ, ἐπεξελθόντες τε καὶ ζηλώσαντες.

**258** Alexander in Aristot. Analyt. pr. p. 263, 26. διαφέρειν δὲ δοκεῖ κατὰ τοὺς ἀρχαίους τὸ μεταλαμβανόμενον τοῦ προσλαμβανομένου· ἐφ' ὧν μὲν γὰρ ἐν τοῖς εἰλημμένοις ἔγκειταί τε καὶ ἔστι τὸ λαμβανόμενον, οὐ μὴν οὕτως οὐδὲ τοιοῦτον οἷον λαμβάνεται, ἐπὶ τούτων τὸ λαμβανόμενον μεταλαμβανόμενόν ἐστιν· οὐ γὰρ ἔξωθεν προστίθεται, ἀλλὰ κείμενον ἄλλως μεταλαμβάνεται εἰς ἄλλο· ἐν γὰρ τῷ „εἰ ἡμέρα ἐστί, φῶς ἐστι“ τὸ „ἡμέρα ἐστίν“, ὃ προσλαμβανόμενον οἱ νεώτεροι λέγουσιν, ἔγκειται μέν, οὐ μὴν τοιοῦτον ὁποῖον λαμβάνεται· τίθεται μὲν γὰρ ἐν τῷ συνημμένῳ ἐν ὑποθέσει τε καὶ ἀκολουθίᾳ, λαμβάνεται δὲ ὡς ὑπάρχον. — — προσλαμβανόμενον δὲ λέγουσιν, ἐφ' ὧν τοῖς κειμένοις ἔξωθέν τι προστίθεται etc.

Cf. p. 262, 6. μεταλαμβανόμενον λέγων ἐκεῖνο, οὗ ἡ δεῖξις καὶ ὁ συλλογισμὸς γίνεται, ὅ ἐστι ποτὲ μὲν — — ποτὲ δὲ — — ποτὲ δέ, ὃ οἱ νεώτεροι προσλαμβανόμενον λέγουσιν. p. 324, 16.

**259** Alexander in Aristot. Analyt. pr. p. 164, 27 Wal. ὅθεν δῆλον, ὅτι καὶ ταῦτα, περὶ ὧν αὐτὸς μὲν οὐκ εἴρηκε (scil. Aristoteles), λέγουσι δὲ οἱ νεώτεροι, ἀχρήστων ὄντων πρὸς ἀπόδειξιν, δι' ἀχρηστίαν οὐ δι' ἄγνοιαν παρέλιπεν, οἷοί εἰσιν οἱ διαφορούμενοι λόγοι ἢ ἀδιαφόρως περαίνοντες ἢ ἡ ἄπειρος ὕλη λεγομένη καὶ καθόλου τὸ θέμα τὸ δεύτερον καλούμενον παρὰ τοῖς νεωτέροις.

---

6 τὸ Γ κατ' οὐδενὸς τοῦ Δ addidi. 7 κατὰ παντὸς τοῦ addidi. 9 παρεῖται ὂν scripsi, παρειατέον libri. Ad totam disputationem cf. n. 242 extr., quae dicuntur περὶ τῶν οὐχ ἁπλῶν συλλογισμῶν. 41 οἱ om. BM. ‖ διφορούμενοι Wal. ‖ διαφόρως BM.

**260** Alexander in Aristot. Analyt. pr. p. 21, 28 Wal. καθόλου γάρ, εἴ τι εἴη συναγόμενον μέν, οὐ μὴν ἐκ τῶν κειμένων, ἀλλ' ἑτέρας προτάσεως προσλήψει, τὸ τοιοῦτον ἀναγκαῖον μὲν ῥηθήσεται, οὐ μὴν συλλογισμὸς ἤδη τοῦτο· ὁποῖοί εἰσι καὶ οἱ ἀμεθόδως περαίνοντες λόγοι παρὰ τοῖς Στωϊκοῖς, οἷον εἰ λέγοι τις „τὸ πρῶτον τοῦ δευτέρου μεῖζον, τὸ δὲ δεύτερον τοῦ τρίτου, τὸ ἄρα πρῶτον τοῦ τρίτου μεῖζον“. τοῦτο γὰρ ἀναγκαίως μὲν ἕπεται, οὐ μὴν καὶ συλλογιστικῶς, εἰ μὴ προσληφθείη τις ἔξωθεν πρότασις ἡ λέγουσα „τὸ τοῦ μείζονος μεῖζον καὶ τοῦ ἐλάττονος ἐκείνου μεῖζόν ἐστιν“. p. 22, 17 καὶ ὅλως τοιοῦτον τὸ εἶδός ἐστι τῶν λόγων, οὓς οἱ νεώτεροι λέγουσιν ἀμεθόδως περαίνοντας, οἷόν ἐστι καὶ τὸ „ἡμέρα ἐστίν· ἀλλὰ καὶ σὺ λέγεις ὅτι ἡμέρα ἐστίν· ἀληθεύεις ἄρα“.

Cf. p. 68, 21. ὅσοι δὲ ἡγοῦνται ἐκ δύο ἐπὶ μέρους συλλογιστικῶς τι συνάγεσθαι, ὡς οἱ τοὺς παρὰ τοῖς Στωϊκοῖς λεγομένους ἀμεθόδως περαίνοντας παρεχόμενοι εἰς δεῖξιν τούτου καὶ ἄλλα τινὰ παραδείγματα ἀθροίζοντες — ἴστωσαν — πρὸς τῷ καὶ τὰ παραδείγματα, ἃ παρέχονται, μὴ τοῖς λαμβανομένοις καὶ τιθεμένοις ἔχειν ἐξ ἀνάγκης ἑπόμενον τὸ συμπέρασμα, μηδὲ „τῷ ταῦτα εἶναι“ (Anal. pr. I 1 p. $24^b$ 20) ἀλλὰ τῷ ἀληθῆ εἶναι ἐπ' αὐτῶν τὴν καθόλου πρότασιν, παρ' ἧς ἔχοντες τὸ συμπέρασμα, ἐν τῇ τῶν προτάσεων λήψει παραλιπόντες ἐκείνην, τὴν ἐλάττονα εἰς δύο διαιροῦσιν. πάντες γὰρ οὕτως συνάγουσιν τῶν λεγομένων ὑπ' αὐτῶν ἀμεθόδως περαίνειν οἱ τὰς δύο προτάσεις ἐπὶ μέρους ἔχοντες· ῥᾴδιον δὲ ἐπὶ τῶν παραδειγμάτων, ὧν παρέχονται, τοῦτο δεικνύναι. καὶ τἆλλα δέ, ὅσα ἡμαρτημένως λαμβάνουσι βιαζόμενοι δεικνύναι συλλογιστικὴν τὴν τοιαύτην συζυγίαν, οὐ χαλεπὸν ἐλέγχειν.

p. 344, 11. οὐ γὰρ εἰ ὁ συλλογισμὸς ἐξ ἀνάγκης δείκνυσί τι, ἤδη καὶ ἔνθα ἂν ᾖ ἐξ ἀνάγκης τι δεικνύμενον τῷ τοῖς κειμένοις ἕπεσθαι, τοῦτο συλλογισμός ἐστιν. p. 345, 13. τοιοῦτοί εἰσι καὶ οὓς λέγουσιν οἱ νεώτεροι ἀμεθόδως περαίνοντας. οὓς ὅτι μὲν μὴ λέγουσι συλλογιστικῶς συνάγειν, ὑγιῶς λέγουσι· πολλοὶ γὰρ αὐτῶν εἰσι τοιοῦτοι. ὅτι δὲ ἡγοῦνται ὁμοίους αὐτοὺς εἶναι τοῖς κατηγορικοῖς συλλογισμοῖς, περὶ ὧν ἡ παροῦσα πραγματεία, οὕτως λαμβανομένους, ὡς τιθέασιν αὐτούς, τοῦ παντὸς διαμαρτάνουσιν· εἰ γὰρ ἦσαν τούτοις ὅμοιοι, εἶχον ἂν καὶ τὸ εἶναι συλλογισμοί.

Alexander in Aristot. Top. p. 10 Ald. p. 14, 20. τοιοῦτοι δέ εἰσι λόγοι καὶ οἱ ὑπὸ τῶν ἀπὸ τῆς Στοᾶς λεγόμενοι ἀμεθόδως περαίνοντες. Secuntur eaedem explicationes quas ex Analyticorum commento apposui.

**261** Alexander in Aristot. Anal. pr. (p. $24^b$ 18) p. 18, 12 Wal. πάνυ δὲ καλῶς τὸ δεῖν ἕτερον τῶν τεθέντων εἶναι τὸ συμπέρασμα προσέθηκεν (scil. Aristoteles). — — τὸ γὰρ χρειῶδες τοῦ συλλογισμοῦ οὐ παρέχεται τὸ „εἰ ἡμέρα ἐστίν, φῶς ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· φῶς ἄρα ἐστί“ καὶ ὅλως οἱ λεγόμενοι ὑπὸ τῶν νεωτέρων ἀδιαφόρως περαίνοντες. τοιοῦτοι δὲ καὶ οἱ διφορούμενοι, οἷός ἐστιν „εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν“. p. 19, 3. ὁ γὰρ ἐξ ἀντιφάσεως διαιρετικὸς συλλογισμὸς οὐχ ὡς ταὐτὸν τῷ μεταλαμβανομένῳ ἤ, ὡς οἱ νεώτεροί φασι, προσλαμβανομένῳ τὸ συμπέρασμα ἐπιφέρει· ὁ γὰρ λέγων „ἤτοι ἡμέρα ἐστὶν ἢ οὐκ ἔστιν ἡμέρα“ εἶτα προσλαμβάνων τὸ ἕτερον τῶν ἐν τῷ διαιρετικῷ, ἢ τὸ ἀποφατικὸν τὸ „ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα“ ἢ τὸ καταφατικὸν τὸ „ἡμέρα ἐστίν“, ἔχει μὲν συναγόμενον ἢ τὸ „οὐκ ἄρα ἡμέρα ἐστίν“ ἢ τὸ „ἡμέρα ἄρα ἐστίν“, ὃ δοκεῖ ταὐτὸν εἶναι τῷ προσειλημμένῳ, ἤτοι τῷ

„ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα“ ἢ τῷ „ἀλλὰ μὴν ἡμέρα ἐστίν“· οὐ μὴν ὡς ταὐτὸν ὂν αὐτῷ ἐπιφέρεται, ἀλλ' ὡς ἀντικείμενον τῷ ἑτέρῳ τῶν ἐν τῷ διαιρετικῷ. — ibid. 20. ὃ ἀναγκαῖον καὶ τοῖς ἀπὸ τῆς Στοᾶς λέγειν, εἴ γε ἐν τοῖς διαιρετικοῖς καὶ διαζευκτικοῖς συλλογισμοῖς φασι τῇ προσλήψει θατέρου τῶν ἐν τῷ διεζευγμένῳ τὸ ἀντικείμενον ἕπεσθαι τοῦ λοιποῦ τῆς συλλογιστικῆς συμπλοκῆς. p. 20, 10. ἀλλὰ μὴν οὐδὲ οἱ διφορούμενοι λόγοι λεγόμενοι ὑπ' αὐτῶν συλλογιστικοί, οἷός ἐστιν ὁ „εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν“. οὔτε γὰρ τὴν χρείαν τὴν τοῦ συλλογισμοῦ παρέχεται, ἔτι τε, εἰ ἡ τοῦ ἑπομένου πρόσληψις ἐν τοῖς συνεχέσιν ἀσυλλόγιστος, ἐν δὲ τοῖς τοιούτοις συνεχέσι ταὐτὸν τὸ ἡγούμενον τῷ ἑπομένῳ, ἡ πρόσληψις οὐ μᾶλλον τοῦ ἡγουμένου ἢ τοῦ ἑπομένου γίνεται etc.

Cf. Ammonius in Aristot. Anal. pr. p. 27, 35, 32, 13 Wal.

**262** [Apuleius] περὶ ἑρμηνείας 272 (p. 9, 12 Goldb.) supervacanei sunt moduli Stoicorum non idem differenter peragentes: „aut dies est aut nox; atqui dies est; ⟨igitur dies est⟩“. item idem geminantes: „si dies est, dies est; ⟨atqui dies est⟩; dies igitur est“.

**263** Alexander in Aristot. Top. p. 8 Ald. p. 10, 5. οὐδὲ συλλογισμὸς οὖν ἔτι εἴη ἂν ὁ μὴ τὴν χρείαν σῴζων τὴν τοῦ συλλογισμοῦ. τοιοῦτος δὲ ὁ συλλογισμὸς ἐν ᾧ τὸ αὐτὸ τὸ συμπέρασμά τινι τῶν κειμένων· οἷοί εἰσι κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς οἵ διφορούμενοί τε καὶ οἱ ἀδιαφόρως περαίνειν ὑπ' αὐτῶν λεγόμενοι· διφορούμενοι μὲν γάρ εἰσι κατ' αὐτοὺς οἱ τοιοῦτοι „εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν“. ἀδιαφόρως δὲ περαίνοντες ἐν οἷς τὸ συμπέρασμα ταὐτόν ἐστιν ἑνὶ τῶν λημμάτων, ὡς ἐπὶ τῶν τοιούτων „ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν“.

**264** Alexander in Aristot. Analyt. pr. p. 84, 5 Wal. (εἰ τὸ Μ τῷ μὲν Ν παντὶ ὑπάρχει, τῷ δὲ Ξ μὴ παντί) συναχθήσεται τὸ Ν οὐ παντὶ τῷ Ξ. τοιοῦτός ἐστιν ὁ ὑποσυλλογιστικὸς ὑπὸ τῶν νεωτέρων λεγόμενος ὁ λαμβάνων μὲν τὸ ἰσοδυναμοῦν τῇ προτάσει τῇ συλλογιστικῇ, ταὐτὸν δὲ καὶ ἐκ ταύτης συνάγων· τῷ γὰρ „τινὶ μὴ ὑπάρχειν“ τὸ „μὴ παντὶ ὑπάρχειν“ ἰσοδυναμοῦν μετείληπται. ἀλλ' ἐκεῖνοι μὲν οὖν λέγουσι τοὺς τοιούτους συλλογισμούς, εἰς τὴν φωνὴν καὶ τὴν λέξιν βλέποντες· ἀλλ' Ἀριστοτέλης πρὸς τὰ σημαινόμενα ὁρῶν, ἐφ' ὧν ὁμοίως σημαίνεται, οὐ πρὸς τὰς φωνάς, τὸν αὐτόν φησι συνάγεσθαι συλλογισμὸν καὶ ἐν τῇ τοιαύτῃ τῆς λέξεως ἐν τῷ συμπεράσματι μεταλήψει, ἂν ᾖ συλλογιστικὴ ὅλως συμπλοκή.

**265** Alexander in Aristot. Anal. pr. p. 20, 2 Wal. ἐν γοῦν τοῖς μὴ ἐξ ἀντικειμένων διαιρετικοῖς, ὡς ἐν τοῖς ἐξ ἐναντίων, οὐδετέρῳ τῶν κειμένων ταὐτὸν τὸ συμπέρασμα οὐδὲ τῇ λέξει, ὅτι μὴ συμπίπτει ἐπὶ τούτων τὸ ἀντικείμενον τῷ ἑτέρῳ τῷ λοιπῷ ταὐτὸν εἶναι· ἐν γὰρ τῷ „ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν, ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα, νὺξ ἄρα ἐστίν“ — τὸ „νύξ ἐστιν“ οὐδετέρῳ ταὐτὸν τῶν εἰλημμένων, οὔτε τῷ τροπικῷ ὑπ' αὐτῶν (scil. a Stoicis) λεγομένῳ (ἦν γὰρ ἐκεῖνο „ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν“ τὸ ὅλον

---

10 συνεχῆ appellat, quae Stoici συνημμένα. 15 fortasse: idem non. 16. 17 necessaria inserui. 21 διαφορούμενοι aliis locis dicuntur. 32 οὖν scripsi, οὐ B, om. a LM.

τοῦτο) οὔτε τῇ προσλήψει· ἡ γὰρ πρόσληψίς ἐστιν „ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα“· ὧν ἀμφοτέρων ἕτερόν ἐστι τὸ „νύξ ἐστιν“.

**266** Sextus adv. math. VIII 310. τούτων δὴ οὕτως ἐχόντων ἡ ἀπόδειξις πρὸ παντὸς ὀφείλει λόγος εἶναι, δεύτερον συνακτικός, τρίτον καὶ ἀληθής, τέταρτον καὶ ἄδηλον ἔχων συμπέρασμα, πέμπτον καὶ ἐκκαλυπτόμενον τοῦτο ἐκ τῆς δυνάμεως τῶν λημμάτων. (hoc exemplis illustratur § 311—313) 314. συνδραμόντων οὖν πάντων τούτων, τοῦ τε συνακτικὸν εἶναι τὸν λόγον καὶ ἀληθῆ καὶ ἀδήλου παραστατικόν, ὑφίσταται ἡ ἀπόδειξις· ἔνθεν καὶ οὕτως αὐτὴν ὑπογράφουσιν „ἀπόδειξίς ἐστι λόγος δι᾽ ὁμολογουμένων λημμάτων κατὰ συναγωγὴν ἐπιφορὰν ἐκκαλύπτων ἄδηλον“.

**267** Sextus adv. math. VIII 367. ἀλλ᾽ οὐ δεῖ, φασί, πάντων ἀπόδειξιν αἰτεῖν, τινὰ δὲ καὶ ἐξ ὑποθέσεως λαμβάνειν, ἐπεὶ οὐ δυνήσεται προβαίνειν ἡμῖν ὁ λόγος, ἐὰν μὴ δοθῇ τι πιστὸν ἐξ αὑτοῦ τυγχάνειν.

369. οὐχ ἡ ἀπόδειξις μόνον ἐξ ὑποθέσεως προκόπτειν ἀξιοῦται τοῖς δογματικοῖς, ἀλλὰ καὶ ὅλη σχεδὸν φιλοσοφία.

375. νὴ Δία, ἀλλ᾽ εἰώθασιν ὑποτυγχάνοντες λέγειν ὅτι πίστις ἐστὶ τοῦ ἐῤῥῶσθαι τὴν ὑπόθεσιν τὸ ἀληθὲς εὑρίσκεσθαι ἐκεῖνο τὸ τοῖς ἐξ ὑποθέσεως ληφθεῖσιν ἐπιφερόμενον· εἰ γὰρ τὸ τούτοις ἀκολουθοῦν ἐστὶν ὑγιές, κἀκεῖνα οἷς ἀκολουθεῖ ἀληθῆ καὶ ἀναμφίλεκτα καθέστηκεν.

**268** Sextus adv. math. VIII 463. οἴονται γὰρ οἱ δογματικοὶ τῶν φιλοσόφων λόγον τὸν ἀξιοῦντα μὴ εἶναι ἀπόδειξιν αὐτὸν ὑφ᾽ αὑτοῦ περιτρέπεσθαι, καὶ δι᾽ ὧν ἀναιρεῖ ταύτην, διὰ τούτων αὐτὴν ὁρίζειν. ὅθεν καὶ ἀντικαθιστάμενοι τοῖς σκεπτικοῖς φασίν· „ὁ λέγων μηδὲν εἶναι ἀπόδειξιν ἤτοι ψιλῇ καὶ ἀναποδείκτῳ χρώμενος φάσει λέγει μηθὲν ὑπάρχειν ἀπόδειξιν, ἢ λόγῳ τὸ τοιοῦτον ἀποδεικνύς· καὶ εἰ μὲν ψιλῇ φάσει προσχρώμενος, οὐθεὶς αὐτῷ πιστεύσει τῶν τὴν ἀπόδειξιν παραδεχομένων, ψιλῇ φάσει χρωμένῳ, ἀλλὰ διὰ τῆς ἀντικειμένης ἐπισχεθήσεται φάσεως, εἰπόντος τινὸς εἶναι ἀπόδειξιν· εἰ δὲ ἀποδεικνὺς τὸ μὴ εἶναι ἀπόδειξιν (τοῦτο γάρ φασιν), αὐτόθεν ὡμολόγησε τὸ εἶναι ἀπόδειξιν· ὁ γὰρ δεικνὺς λόγος τὸ μὴ εἶναι ἀπόδειξιν ἔστιν ἀπόδειξις τοῦ εἶναι ἀπόδειξιν· καὶ καθόλου ὁ κατὰ τῆς ἀποδείξεως λόγος ἤτοι ἀπόδειξίς ἐστιν, ἢ οὐκ ἔστιν ἀπόδειξις· καὶ εἰ μὲν οὐκ ἔστιν ἀπόδειξις, ἄπιστός ἐστιν, εἰ δὲ ἔστιν ἀπόδειξις, ἀπόδειξις ἔστιν“. ἔνιοι δὲ καὶ οὕτω συνερωτῶσιν· „εἰ ἔστιν ἀπόδειξις, ἀπόδειξις ἔστιν· εἰ μὴ ἔστιν ἀπόδειξις, ἀπόδειξις ἔστιν· ἤτοι δὲ ἔστιν ἢ οὐκ ἔστιν ἀπόδειξις· ἀπόδειξις ἄρα ἔστιν“. (hanc argumentationem sanam esse pluribus probatur § 466—469).

**269** Galenus in Hippocr. prognost. I. Vol. XVIII B p. 26 K. ἀναλογισμὸς δ᾽ ἐστὶ λόγος ἐκ τοῦ φαινομένου ὁρμώμενος καὶ τοῦ ἀδήλου κατάληψιν ποιούμενος· ἐπιλογισμὸς δὲ ὁ κοινὸς καὶ συμφωνούμενος παρὰ πάντων λόγος.

## § 9. *Περὶ σοφισμάτων λύσεως.*

**270** Plutarchus de Stoic. repugn. cp. 10 p. 1036c. Ὥςτ᾽ αὐτὸν ἑαυτῷ μάχεσθαι — — φυλάττεσθαι μὲν ἑτέροις παραινοῦντα τοὺς εἰς τἀναντία λόγους, ὡς περισπῶντας τὴν κατάληψιν, αὐτὸν δὲ τῶν βεβαι-

---

24 ψιλῇ Fabricius, ψεύδει libri.

ούντων τὴν κατάληψιν λόγων φιλοτιμότερον συντιθέντα τοὺς ἀναιροῦντας. Καίτοι ὅτι τοῦτο αὐτὸς φοβεῖται, σαφῶς ὑποδείκνυσιν ἐν τῷ τετάρτῳ περὶ Βίων ταῦτα γράφων „Οὐχ ὡς ἔτυχε δὲ οὐδὲ τοὺς ἐναντίους ὑποδεκτέον λόγους, οὐδὲ προς<ετέα> τὰ ἐναντία πιθανά, ἀλλ᾽ εὐλαβουμένους, μὴ καὶ περισπασθέντες ὑπ᾽ αὐτῶν τὰς καταλήψεις ἀφῶσιν, οὔτε τῶν λύσεων ἱκανῶς ἂν ἀκοῦσαι δυνάμενοι, καταλαμβάνοντές τε εὐαποσείστως· ἐπεὶ καὶ οἱ τὴν συνήθειαν καταλαμβάνοντες καὶ τὰ αἰσθητὰ καὶ τὰ ἄλλα ἐκ τῶν αἰσθήσεων, ῥᾳδίως προΐενται ταῦτα, καὶ ὑπὸ τῶν Μεγαρικῶν ἐρωτημάτων περισπώμενοι, καὶ ὑπ᾽ ἄλλων πλειόνων καὶ δυναμικωτέρων ἐρωτημάτων."

**271** Plutarchus de Stoic. repugn. cp. 10 p. 1036f. Ἢ τοῦτο (quanti τὰ Μεγαρικὰ ἐρωτήματα aestimanda sint) παρ᾽ αὐτοῦ Χρυσίππου δεῖ πυνθάνεσθαι; σκόπει γὰρ οἷα περὶ τοῦ Μεγαρικοῦ λόγου γέγραφεν ἐν τῷ περὶ Λόγου Χρήσεως οὕτως· „Οἷόν τι συμβέβηκε καὶ ἐπὶ τοῦ Στίλπωνος λόγου καὶ Μενεδήμου· σφόδρα γὰρ ἐπὶ σοφίᾳ γενομένων αὐτῶν ἐνδόξων, νῦν εἰς ὄνειδος αὐτῶν ὁ λόγος περιτέτραπται, ὡς τῶν μὲν παχυτέρων, τῶν δ᾽ ἐκφανῶς σοφιζομένων."

**272** Galenus de animi peccatis dignoscendis 3. Vol. V p. 72 K. *ἀναγκαῖον δ᾽ ἐστὶ τὸν ἐξαίφνης προσελθόντα κρίσει λόγου ἀδυνατεῖν διαγνῶναί τε καὶ διακρῖναι τοὺς ψευδεῖς ἀπὸ τῶν ἀληθῶν. ἐναργὲς δὲ τούτου τεκμήριόν ἐστι, τὰ καλούμενα σοφίσματα, λόγοι τινὲς ὄντες ψευδεῖς εἰς ὁμοιότητα τῶν ἀληθῶν πεπανουργευμένοι· τὸ μὲν οὖν ψεῦδος αὐτῶν πρόδηλον φαίνεται διὰ τοῦ συμπεράσματος οὐκ ὄντος ἀληθοῦς· ἐπειδὴ δ᾽ οἱ ψευδεῖς λόγοι πάντως ἤτοι τῶν λημμάτων ἔχουσί τι ψεῦδος ἢ τὸ συμπέρασμα κακῶς ἐπιφερόμενον, οὐ φαίνεται δὲ προχείρως ταῦτα κατὰ τὰ σοφίσματα, διὰ τοῦτο δύσοπτα τοῖς ἀγυμνάστοις περὶ λόγους.*

**273** Anonymi scholia in status Walz. Rh. Gr. VII 1 p. 383. *ὅπου γε καὶ παρὰ τοῖς Στωϊκοῖς καλεῖταί τις διάλληλος λόγος, ὅς ἐστιν ἀναπόδεικτος· οἷον ποῦ Θέων οἰκεῖ, ἔνθα Δίων, καὶ ποῦ Δίων, ἔνθα Θέων· ὁ δὲ τοιοῦτος λόγος, ὁ διάλληλός φημι τὴν ἀπόδειξιν ἔχειν, ἀναπόδεικτός τέ ἐστι καὶ πέρας αὐτοῦ οὐδὲν γίγνεται, ὅταν τὰ σημεῖα τοῦ πράγματος δι᾽ ἀλλήλων συγκατασκευάζηται.*

**274** Diocles Magnes apud Diog. Laërt. VII 82. *καὶ ἄποροι δέ τινές εἰσι λόγοι, ἐγκεκαλυμμένοι καὶ διαλεληθότες καὶ σωρεῖται καὶ κερατίδες καὶ οὔτιδες. ἔστι δὲ ἐγκεκαλυμμένος οἷον ὁ τοιοῦτος „οὐχὶ τὰ μὲν δύο ὀλίγα*

---

2 *αὐτὸς* Mez., *αὐτὸ* libri. 4 *προσετέα* Wy, *προσακτέα* Re; *πρὸς* libri. 6 *οὔτε* Reiske, *οὐδὲ* libri. 15 *οὖτος* libri, corr. Bernardakis. 18 *παχυτέρων* Wy., *παχύτερον* libri. 21 *προσελθόντα* scripsi, *προελθόντα* libri. 22 *τούτου* scripsi, *τοῦτο* libri. 32 fortasse: *ὁ διάλληλόν φημι τὴν ἀπόδειξιν ἔχων.*
37 Chrysippus scripsit: *περὶ τοῦ ἐγκεκαλυμμένου πρὸς Ἀριστόβουλον β΄, περὶ τοῦ διαλεληθότος πρὸς Ἀθηνάδην α΄, περὶ τοῦ οὔτιδος πρὸς Μενεκράτην η΄, περὶ τῶν ἐξ ἀορίστου καὶ ὡρισμένου λόγων πρὸς Πάσυλον β΄, περὶ οὔτιδος λόγου πρὸς Ἐπικράτην α΄, περὶ τῶν ἀπόρων διαλεκτικῶν λόγων πρὸς Διοσκουρίδην ε΄.*

ἐστίν, οὐχὶ δὲ καὶ τὰ τρία, οὐχὶ δὲ καὶ ταῦτα μέν, οὐχὶ δὲ καὶ τὰ τέσσαρα, καὶ οὕτω μέχρι τῶν δέκα· τὰ δὲ δύο ὀλίγα ἐστίν· καὶ τὰ δέκα ἄρα". οὔτις δέ ἐστι λόγος συνακτικὸς [καὶ] ἐξ ἀορίστου καὶ ὡρισμένου συνεστώς, πρόσληψιν δὲ καὶ ἐπιφορὰν ἔχων, οἷον· „εἴ τίς ἐστιν ἐνταῦθα, οὐκ ἔστιν ἐκεῖνος ἐν Ῥόδῳ· <ἀλλὰ μὴν ἔστι τις ἐνταῦθα· οὐκ ἄρα τις ἔστιν ἐν Ῥόδῳ>".

275 Sextus Pyrrh. Hyp. II 253. καὶ εἴγε οἱ περὶ τὸν Χρύσιππον δογματικοὶ ἐν τῇ συνερωτήσει τοῦ σωρίτου προϊόντος τοῦ λόγου φασὶ δεῖν ἵστασθαι καὶ ἐπέχειν, ἵνα μὴ ἐκπέσωσιν εἰς ἀτοπίαν, πολὺ δήπου μᾶλλον ἂν ἡμῖν ἁρμόζον εἴη σκεπτικοῖς οὖσιν, ὑποπτεύουσιν ἀτοπίαν, μὴ προπίπτειν κατὰ τὰς συνερωτήσεις τῶν λημμάτων, ἀλλ' ἐπέχειν καθ' ἕκαστον ἕως τῆς ὅλης συνερωτήσεως τοῦ λόγου.

276 Sextus adv. math. VII 416. ἐπὶ γὰρ τοῦ σωρίτου τῆς ἐσχάτης καταληπτικῆς φαντασίας τῇ πρώτῃ ἀκαταλήπτῳ παρακειμένης καὶ δυσδιορίστου σχεδὸν ὑπαρχούσης, φασὶν οἱ περὶ τὸν Χρύσιππον ὅτι ἐφ' ὧν μὲν φαντασιῶν ὀλίγη τις οὕτως ἔστι διαφορά, στήσεται ὁ σοφὸς καὶ ἡσυχάσει, ἐφ' ὧν δὲ πλείων προσπίπτει, ἐπὶ τούτων συγκαταθήσεται τῇ ἑτέρᾳ ὡς ἀληθεῖ.

277 Cicero Acad. Pr. II 93. *Placet enim Chrysippo cum gradatim interrogetur, verbi causa „tria pauca sint anne multa," aliquanto prius quam ad multa perveniat quiescere, id est quod ab iis dicitur* ἡσυχάζειν. *„Per me vel stertas licet, inquit Carneades, non modo quiescas."*

278 Simplicius in Aristot. categ. f. 26E. ed. Bas. Ἄξιον δὲ ζητεῖν κατὰ τοὺς ὑπόστασιν διδόντας τοῖς εἴδεσι καὶ γένεσιν εἰ ῥηθήσεται „τάδε" εἶναι. Καὶ γὰρ καὶ Χρύσιππος ἀπορεῖ περὶ τῆς ἰδέας εἰ τόδε τι ῥηθήσεται. συμπαραληπτέον δὲ καὶ τὴν συνήθειαν τῶν Στωϊκῶν περὶ τῶν γενικῶν ποιῶν, πῶς αἱ πτώσεις κατ' αὐτοὺς προφέρονται καὶ πῶς οὔ τινα τὰ κοινὰ παρ' αὐτοῖς λέγεται καὶ ὅπως παρὰ τὴν ἄγνοιαν τοῦ μὴ πᾶσαν οὐσίαν τόδε τι σημαίνειν καὶ τὸ παρὰ τὸν οὔτινα σόφισμα γίνεται, παρὰ τὸ σχῆμα τῆς λέξεως, οἷον εἴ τις ἐστὶν ἐν Ἀθήναις, οὐκ ἔστιν ἐν Μεγάροις. ὁ γὰρ ἄνθρωπος οὔ τις ἐστίν. οὐ γὰρ ἐστί τις ὁ κοινός, ὡς τινὰ δὲ αὐτὸν ἐλάβομεν ἐν τῷ λόγῳ, καὶ παρὰ τοῦτο τὸ ὄνομα τοῦτο ἔσχεν ὁ λόγος, „οὔ τις" κληθείς. τὸ αὐτὸ καὶ ἐπὶ τοῦδε τοῦ σοφίσματός ἐστιν· ὃ ἐγὼ εἰμί, σὺ οὐκ εἶ. ἄνθρωπος δ' εἰμὶ ἐγώ. ἄνθρωπος ἄρα

---

2 οὕτω pro οὔτις B. 3 συναπτικὸς B. ‖ καὶ om. BP, habet F. 4 εἰ τὸ B. 5 ἀλλὰ — Ῥόδῳ supplevi. Ipsa descriptio mutila est. Exspecto: „οὔτις" ἐστὶ λόγος συν<ημμένον μὲν> ἐξ ἀορίστου καὶ ὡρισμένου συνεστώς, πρόσληψιν δὲ καὶ ἐπιφορὰν ἔχων <ἀόριστον>. 16 πλείω libri, corr Bekker. 20 iis Orelli, his codd. 28 Cf. n. 329sq. 31 Supplendum est ex Laërtio: ἄνθρωπος δέ ἐστιν ἐν Ἀθήναις· οὐκ ἄρα ἐστὶν ἄνθρωπος ἐν Μεγάροις. Cf. Ammon. ad Categ. f. 586.

*σὺ οὐκ εἶ. Καὶ γὰρ ἐπὶ τούτου τοῦ σοφίσματος τὸ μὲν „ἐγὼ“ καὶ „σὺ“ ἐπὶ τῶν ἀτόμων λέγεται· ὁ δὲ ἄνθρωπος ἐπ' οὐδενὶ τῶν ἐν μέρει. γέγονεν οὖν ἡ παραγωγὴ διότι τῷ οὔ τινι ὡς „τινὶ“ ἐχρήσατο.*

**279** Diogenes Laërt. VII 186. *Ὁ δὴ φιλόσοφος καὶ τοιούτους τινὰς ἠρώτα λόγους. Ὁ λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια ἀσεβεῖ· ὁ δέ γε ἱεροφάντης τοῖς ἀμυήτοις λέγει ⟨τὰ μυστήρια⟩· ἀσεβεῖ ἄρα ὁ ἱεροφάντης. ἄλλο· Ὅ οὐκ ἔστιν ἐν τῇ πόλει, οὐδ' ἐν τῇ οἰκίᾳ· οὐκ ἔστι δὲ φρέαρ ἐν τῇ πόλει· οὐδ' ἄρα ἐν τῇ οἰκίᾳ. ἄλλο· Ἔστι τις κεφαλή. ἐκείνην δὲ οὐκ ἔχεις· ἔστι δὲ γέ τις κεφαλή ⟨ἣν οὐκ ἔχεις⟩· οὐκ ἄρα ἔχεις κεφαλήν. ἄλλο· Εἴ τις ἔστιν ἐν Μεγάροις, οὐκ ἔστιν ἐν Ἀθήναις· ἄνθρωπος δέ ἐστιν ἐν Μεγάροις· οὐκ ἄρα ἐστὶν ἄνθρωπος ἐν Ἀθήναις. Καὶ πάλιν· Εἴ τι λαλεῖς, τοῦτο διὰ τοῦ στόματός σου διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξα ἄρα διὰ τοῦ στόματός σου διέρχεται. καί· Εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις. οἱ δὲ Εὐβουλίδου τοῦτό φασιν.*

**280** Arrianus Epictet. dissert. II 17, 34. *ἀλλ' ἐγὼ θέλω γνῶναι τί λέγει Χρύσιππος ἐν τοῖς περὶ τοῦ Ψευδομένου.*

**281** Hieronymus ep. 69 ad Oceanum. *statimque recordatus Chrysippei sophismatis: Si mentiris, idque vere dicis, mentiris.*

**282** Cicero Acad. Pr. II 96. *Quomodo igitur hoc conclusum esse iudicas? „Si dicis nunc lucere et verum dicis ⟨lucet; dicis autem lucere et verum dicis⟩ lucet igitur.“ Probatis certe genus et rectissime conclusum dicitis. Itaque in docendo eum primum concludendi modum traditis. Aut quidquid igitur eodem modo concluditur, probabitis, aut ars ista nulla est. Vide ergo hanc conclusionem probaturusne sis: „Si dicis te mentiri, verumque dicis, mentiris. Dicis autem te mentiri verumque dicis: mentiris igitur.“ Qui potes hanc non probare, quum probaveris eiusdem generis superiorem? Haec Chrysippea sunt, ne ab ipso quidem dissoluta: Quid enim faceret huic conclusioni: 'Si lucet, lucet; lucet autem; lucet igitur.' Cederet scilicet. Ipsa enim ratio conexi, cum concesseris superius, cogit inferius concedere. Quid ergo haec ab illa conclusione differt?*

**283** Arrianus Epictet. dissert. II 19, 1 sq. *Ὁ κυριεύων λόγος ἀπὸ τοιούτων τινῶν ἀφορμῶν ἠρωτῆσθαι φαίνεται. Κοινῆς γὰρ οὔσης*

---

1 Cf. Gellius XVIII 13 „quod ego sum, id tu non es“ — „homo autem ego sum“ — „homo igitur tu non es.“ 5 Sophismata, quibus solvendis Chrys. operam dedit. 6 *ὁ δέ γε* BP *ὁ δὲ* D. 7 *οὐκ* om. BPF, habet D. ‖ *οὐδ'* D *τοῦτο καὶ* BP *τοῦτο* F. 9 *ἣν οὐκ ἔχεις* om. BPFD, habet Suid. 10 *ἄλλο* om. BPF (qui *ἤ τις*). 13 *σοῦ* ante *διὰ* BP. ‖ *ἔρχεται* B. ‖ *ἅμαξα σου* (om. *σου* post *στόματος*) PFD. 14 *καὶ πάλιν* BPFD. 17 Complures libros scripsit Chrysippus *περὶ τοῦ Ψευδομένου* Vide n. 15 v. 22 lucet—verum dicis *add. Manutius.* 25 video *libri opt.*

*μάχης τοῖς τρισὶ τούτοις πρὸς ἄλληλα, τῷ „Πᾶν παρεληλυθὸς ἀληθὲς ἀναγκαῖον εἶναι“ καὶ τῷ „Δυνατῷ ἀδύνατον μὴ ἀκολουθεῖν“ καὶ τῷ „Δυνατὸν εἶναι ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται“· συνιδὼν τὴν μάχην ταύτην ὁ Διόδωρος, τῇ τῶν πρώτων δυοῖν πιθανότητι συνεχρήσατο πρὸς παράστασιν τοῦ „Μηδὲν εἶναι δυνατὸν ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται.“ Λοιπὸν ὁ μέν τις ταῦτα τηρήσει τῶν δυοῖν, ὅτι ἔστι τέ τι δυνατόν, ὃ οὔτ' ἔστιν ἀληθές οὔτ' ἔσται· καὶ δυνατῷ ἀδύνατον οὐκ ἀκολουθεῖ· οὐ πᾶν δὲ παρεληλυθὸς ἀληθὲς ἀναγκαῖόν ἐστι· καθάπερ οἱ περὶ Κλεάνθην φέρεσθαι δοκοῦσιν, οἷς ἐπιπολὺ συνηγόρησεν Ἀντίπατρος. Οἱ δὲ* (scil. Chrysippus) *τἄλλα δύο· ὅτι δυνατόν τ' ἐστὶν ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται καὶ πᾶν παρεληλυθὸς ἀληθὲς ἀναγκαῖόν ἐστιν· δυνατῷ δ' ἀδύνατον ἀκολουθεῖ. Τὰ τρία δ' ἐκεῖνα τηρῆσαι ἀμήχανον, διὰ τὸ κοινὴν εἶναι αὐτῶν τὴν μάχην.*

ibid. § 9. *Γέγραφε δὲ καὶ Χρύσιππος θαυμαστῶς ἐν τῷ πρώτῳ περὶ Δυνατῶν· καὶ Κλεάνθης δ' ἰδίᾳ γέγραφε περὶ τούτου καὶ Ἀρχέδημος· γέγραφε δὲ καὶ Ἀντίπατρος, οὐ μόνον δ' ἐν τοῖς περὶ Δυνατῶν, ἀλλὰ καὶ κατ' ἰδίαν ἐν τοῖς περὶ τοῦ Κυριεύοντος.*

**284** Cicero ad famil. IX 4. *Περὶ δυνατῶν me scito κατὰ Διόδωρον κρίνειν. Quapropter si venturus es, scito necesse esse te venire: sin autem non es, τῶν ἀδυνάτων est, te venire. Nunc vide, utra te κρίσις magis delectet, Χρυσιππεία ne, an haec, quam noster Diodotus non concoquebat. Sed de his etiam rebus, otiosi quum erimus, loquemur: hoc etiam κατὰ Χρύσιππον δυνατὸν est.*

**285** Cicero Acad. Pr. II 143. *In hoc ipso, quod in elementis dialectici docent, quo modo iudicare oporteat, verum falsumne sit, si quid ita conexum est, ut hoc: „si dies est, lucet“, quanta contentio est! aliter Diodoro, aliter Philoni, Chrysippo aliter placet. Quid? cum Cleanthe, doctore suo, quam multis rebus Chrysippus dissidet! quid? duo vel principes dialecticorum, Antipater et Archedemus, opiniosissimi homines, nonne multis in rebus dissentiunt?*

**286** Syrianus Schol. in Hermog. Vol. II p. 42, 1 Rabe. *τὸν ἄπορον ἐν κατηγορίᾳ, ὃν καὶ κροκοδειλίτην οἱ Στωϊκοί φασιν, οἷον·* Εὔαθλος συνέθετο Πρωταγόρᾳ τῷ σοφιστῇ δώσειν μισθὸν, εἰ τὴν πρώτην δίκην λέγων νικήσειε. μαθὼν καὶ μὴ βουλόμενος λέγειν ὑπὸ τοῦ Πρωταγόρου τὸν μισθὸν ἀπαιτεῖται; ὁ δὲ ἀντιλέγει· εἴτε γὰρ νικήσειεν, οὐ δίκαιος δοῦναι κατὰ τὴν σύνταξιν, εἴτε ἡττηθείη, ὡς μηδέπω μαθὼν οὐκ ἄξιος ἀπαιτεῖσθαι.

**287** Lucianus vitarum auctio 22. *Χρύσιππος· ἔστι σοι παιδίον; — Ὠνητής· τί μήν; — Χρυσ. τοῦτο ἤν πως κροκόδειλος*

---

30 opinosissimi *cod. AB*; spinosissimi *C. F. Hermann.* 38 Cf. Gellius V 10.

ἁρπάσῃ πλησίον τοῦ ποταμοῦ πλαζόμενον εὑρών, κᾆτά σοι ἀποδώσειν ὑπισχνῆται αὐτό, ἢν εἴπῃς τἀληθὲς ὅτι δέδοκται αὐτῷ περὶ τῆς ἀποδόσεως τοῦ βρέφους, τί φήσεις αὐτὸν ἐγνωκέναι; — — — — Χρυσ. Καὶ ἄλλα γάρ σε διδάξομαι θαυμασιώτερα — τὸν θερίζοντα καὶ τὸν κυρίττοντα καὶ ἐπὶ πᾶσι τὴν Ἠλέκτραν καὶ τὸν ἐγκεκαλυμμένον. — — Ἠλέκτραν μὲν ἐκείνην — ἣ τὰ αὐτὰ οἶδέ τε ἅμα καὶ οὐκ οἶδεν· παρεστῶτος γὰρ αὐτῇ τοῦ Ὀρέστου ἔτι ἀγνῶτος, οἶδε μὲν Ὀρέστην, ὅτι ἀδελφὸς αὐτῆς, ὅτι δὲ οὗτος Ὀρέστης ἀγνοεῖ. τὸν δ' αὖ ἐγκεκαλυμμένον καὶ πάνυ θαυμαστὸν ἀκούσῃ λόγον. ἀπόκριναι γάρ μοι, τὸν πατέρα οἶσθα τὸν σεαυτοῦ; — Ὦν. ναί. — Χρυσ. τί οὖν; ἤν σοι παραστήσας τινὰ ἐγκεκαλυμμένον ἔρωμαι „τοῦτον οἶσθα"; τί φήσεις; — Ὦν. δηλαδὴ ἀγνοεῖν. — Χρυσ. ἀλλὰ μὴν αὐτὸς οὗτος ἦν ὁ πατὴρ ὁ σός, ὥστε εἰ τοῦτον ἀγνοεῖς, δῆλος εἶ τὸν πατέρα τὸν σὸν ἀγνοῶν.

4 τὸν θερίζοντα] cf. Ammon. ad Aristot. de interpr. f. 106a.